

Philologie.

Hunc librum dono accepi a Tañero amicissimo meo. Mitaviae. d. XXII. mens: Octobris. Ao. MDCCCXXXVI.

R 1695

II. d. 375 a.

Bd. 375 a.

ΕΥΡΙΠΙΔΟΥ
ΤΡΑΓΩΔΙΑΙ ΟΚ-
τωκαίδεκα,

Ἑκάβη	Ὀρέστης	Φοίνισσαι
Μήδεια	Ἱππόλυτος	Ἄλκηστις
Ἀνδρομάχη	Ἱκέτιδες	Ἰφιγένεια ἐν
Αὐλίδι	Ἰφιγένεια ἐν Ταύροις	
Ῥῆσος	Τρῳάδες	Βάκχαι
Κύκλωψ	Ἡρακλεῖδαι	Ἑλένη
Ἴων	Ἡρακλῆς μαινόμενος	

EVRIPIDIS TRAgœdiæ octodecim,

1. Hecuba	2 Orestes	3 Phœnissæ
4. Medea	5 Hippolytus	6 Alcestis
7. Andromache	8 Supplices	9 Iphigenia in Aulide
	10. Iphigenia in Tauris	
11. Rhesus	12. Troades	13 Bacchæ
14 Cyclops	15. Heraclidæ	16 Helena
17. Ion	18. Hercules furens.	

Basileæ apud Ioan. Heruagium anno, M. D. XXXVII, mense Martio.

BIBLIOTH: ACADEM: DORPAT:

Acc. 6722.

SYMB. SPES MEA CHRISTVS

L. Fanner

C. H. Straus.

Scholæ Salaeop. 1696.

IOAN. HERVAGIVS
Lectori S. D.

NE nunquam non officina nostra aliquid tibi, candide lector, pariat, cum linguæ, tum moribus & uitæ formandis commodum, Euripidem inter præstantißimos Tragœdorum à Prisciano connumeratum, nostris typis publicandum suscepimus: quod libentius præstitimus urgentibus uiris doctißimis, qui in publicis gymnasijs hunc autorem dicebant requiri. Commentaria libenter adiecißemus, si operis idoneis & satis multis fuißemus instructi. Exhibebimus ea igitur distincto ab hoc uolumine quàm primum id fieri poterit. Tu interim ipso autore utere, quem proprio marte si explicare coneris, plus quidem laboris capessendum, sed emolumentũ uicissim longe maximum acceperis. Bene uale.

4-II A
3068
i50515214

ΕΠΙΓΡΑΜΜΑΤΑ ΕΙΣ ΕΥΡΙΡΙΔΗΝ.

ΙΩΝΟΣ.

Χαῖρε μελαμπέπλοις Εὐριπίδη ἐν γυάλοισιν
Πιερίας, τὸν ἀεὶ νυκτὸς ἔχων θάλαμον.
Ἰσθι δ' ὑπὸ χθονὸς ὤν, ὅτι σοι κλέος ἄφθιτον ἔσται
Ἴσον ὁμηρείαις ἀγνάοις χάρισιν.

ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

Εἰ καὶ δακρυόεις Εὐριπίδη εἷλέ σε πότμος,
Καί σε λυκοῤῥάισται δεῖπνον ἔθεντο κύνες,
Τὸν σκηνῇ μελιγηρὺν ἀνδόνα, κόσμον ἀθηνῶν,
Τὸν σοφίῃ τραγικὴν μιξάμενον χάριτα,
Ἀλλ' ἔμολες πελλαῖον ὑπ' ἠρίον, ὡς ἂν ὁ λάτρις
Πιερίδων, νάης ἀγχόθι πιερίδων

ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

Μνᾶμα μὲν ἑλλὰς ἅπασ' Εὐριπίδου. ὀστέα δ' ἴσχει
Γῆ μακεδών. ἢ γὰρ δέξατο τέρμα βίου.
Ῥατρὶς δ' Ἑλλάδος ἑλλὰς, Ἀθῆναι. πλεῖστα δὲ μούσας
Τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

Οὐ σὸν μνῆμα τόδ' ἐστ' Εὐριπίδη, ἀλλὰ σὺ τοῖδε,
Τῇ σῇ γὰρ δόξῃ μνῆμα τόδ' ἀμπέχετο.

ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

Ἅπασ' Ἀχαιὶς μνῆμα σὸν Εὐριπίδη.
Οὔκουν ἄφωνος, ἀλλὰ καὶ λαλητέος.

ΜΑΝΟΥΗΛ ΤΟΥ ΜΟΣΧΟΠΟΥ-ΛΟΥ ΣΥΝΟΥΙΣ ΤΟΥ ΒΙΟΥ ΤΟΥ ΓΟΙΗΤΟΥ.

Ε ὐριπίδης Μνησάρχου ἢ Μνησαρχίδου, ᾗ Κλειτοῦς. οἱ φυγοντες, εἰς Βοιωτίαν μετῳκησαν. εἶτα ἐν τῇ ἀθηναι. ὑπ ἀληθες ἦ ὡς λαχανόπωλις ἰων ἡ μητηρ αὐτ. ᾗ γὰρ τ σφόδρα ὀλιγανῶν ἐτύγχανον ὄσα, ὡς φιλόχρεος ἀφ ἑκάστου. ἐν ᾗ τῇ διαβάσῃ Ξέρξε, ἐνεκυφορεῖτο ὑπὸ τ μητρος. ἐτέχθη ᾗ καθ ἱλ ἡμέρ Ελλῆνες ἐτρέψαντο τοὺς Πέρσας. ἐγένετο ᾗ τὰ πρῶτα ζωγράφος. εἶτα μαθητὴς προδίκε ἐν τοῖς ξηποφελοις. Σωκράτες ᾗ, ἐν τοῖς ἠθικοῖς, ᾗ φιλοσόφοις. διήκουσε ᾗ τ Αναξαγόρε τ κλαζομενίε. ὧν τραγῳδίαι ᾗ ἐτράπη, τὸν Αναξαγόραν ἰδίων ὑποσάντα κινδύνους διὰ ἄπορ εἰσῆξε δόγματα. σκυθρωπὸς ᾗ τὸ ἦθος ἰων, ᾗ ἀμειδὴς, τ φυγων τὰς συνουσίας. ὅθεν ᾗ μισογύνης ἐδοξάσθη. ἔγημε ᾗ ὅμως πρῶτον Χοιρίλλην, θυγατέρα Μνησιλόχε. ἐξ ἧς ἔσχε Μνησίλοχον, καὶ Μνησαρχίδην, καὶ Εὐριπίδην. ἀπωσάμενος ᾗ τοῦτον, ἔσχε τ δευτέραν. τ τοῦτος ὁμοίως ἀκολάστε φθαρθεὶς, μεταναστὰς ἀπ Αθηνῶν, ἦλθε πρὸς Αρχέλαον Βασιλέα τ Μακεδόνων. παρ ᾧ διῆγεν ἄπρας ἀκολάστως ζημίας. ἐτελεύτησε ᾗ ὑπ ἰδιωτικῆς Αριβάτε τ μακεδόνος, ᾗ Κρατεύα τ θετταλ, ποιητῶν ὄντων, ᾗ φθονησάντων αὐτῷ, ᾗ πεισάντων τὸν Βασιλέως οἰκέτην, ὄνομα Λυσίμαχον, δίκας μνῶν ἀγοραδόντα τοὺς Βασιλικοὺς, ὃς αὐτὸς ἔτρεφε κύνας, ἐπαφεῖναι τῷ Εὐριπίδῃ. Ετεροι ᾗ ἱστόρησαν ὑπ ἰδίων κυνῶν, ἀλλ ὑπὸ γυναικ αὐτὸν

τ διαπαθεῖναι, πορευομένῳ ἀφ ἑστίε πρὸς Κρατερ τὸν ὀρθάμνου Αρχελάου. καὶ γυναῖκα αὐτὸν ᾗ πρὸς τοῦτοις ὁρῶντας. οἱ ᾗ πρὸς τῇ γαμετῇ Νικοδίκῃ τ ἀρεθουσίε. Επὶ δὲ βεβιωκέναι φασὶν αὐτὸν ἑβδομηκονταπέντε. καὶ τὰ ὀστᾶ αὐτ ἐν Πέλλῃ μετακομίσαι τὴν βασιλέα. δράματα δὲ αὐτ ἡ μυθίναι, ἑβδομηκονταπέντε. ἧς ᾗ ἄλλας, ἐνενηκονταδύο. νίκας δὲ εἴληφε πέντε. τὰς μὲν τέσσαρας, πρὶν. τῇ ᾗ μίαν, μετὰ τ τελευτήν. τελευτᾷ δὲ ὢν ἐνενηκοστῆς τρίτης ὀλυμπιάδος.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΕΙΔΩΛΟΥ.

Ε πεισὶ πρὸς τ εἰδώλε προειρήμεθα εἰπεῖν, ὅθεν ᾗ τὸ ὄνομα γλώσσαις μὴ ἁπάσαις προσέβλητο, δι ἐπω δὲ σεσαφήνισται, ἀλλ ὅτιν ἕ καὶ διαφόροις ἐννοίαις ἐκφορέτ, χρεὼν εἰπεῖν τί ποτε τοτὸ ὄτι, καὶ πόθεν εἴληφε τὴν συνθήκην. πῇ μὲν γὰρ εἴδωλα τῶν σωμάτων φαμὲν τὰς ψυχάς. καὶ ῥήτορα εἰδωλοποιὸν ὀνομάζομεν, τὸν ταῖς ἀπελθούσαις τ σωμάτων ψυχαῖς λόγους προσιλιθέμενον. Φιλόσοφοι ᾗ ξύμπαντες, τὰ χείρονα, εἴδωλα τ κρειττόνων φασίν. ὅτω γὰρ κἀπὶ τ σωτηρίας ὅτιν εἰδέναι. ὅτος μὲν γὰρ ὁ χαλκὸς ἀνδριὰς, Ηρακλέους εἴδωλον. ὁ δὲ Θησέως. καὶ ἡ χαλκὴ λύκαινα ἡ τῶν μαστὸς ὑποβαίνουσα τοῖς βρέφεσι, ποιήματα μὲν παλαιᾶς ὀργασίας, εἴδωλα ᾗ ἀληθείας. καθ ἱλ Ρωμ καὶ Ρωμύλ ὑπὸ τοῦ φαυσύλα ῥιφθέντες ὧν τῇ ἀκτῇ, τῆς ζώσης λυκαίνης τοὺς μαστὸς εἴληφαν. τίς δ ὁ τ διαφορᾶς λόγ, ἐγὼ γὰρ φημι λογισάμεν, καὶ ἐκζηθέμεν, ὡς ἡ ψυχὴ ὁ πέφυκεν εἴδωλον, ἀλ-

λὰ τὸ σῶμα τῆς ψυχῆς, ὡς χεῖρον λιρείποντος. ἐπεὶ ἢ
ἀεὶ ψυχαὶ φαύλαζόμεναι, σωμαλικοῖς τυπώντες μορ
φώμασι πρὸς τὴν τῶν ὁρώντων δύναμιν, ἀλαφίσι
μύτοι καὶ συγλεχυμένοις, ⸫ τὸ ὅλον σκιώδεσι, δηλα
δὴ τοῦτα λέγοντες τὰ σωμάτων εἴδωλα. σῶμα μὲν γὰρ
καὶ τὸ ἀχῆμα ὀρθιον, καὶ τὴν ἀφὴν στερρόν, ⸫ αὐλε
τυπὲς, καὶ τὸ χρῶμα γῆι λοιπόν, ⸫ βαρὺ, καὶ γεω
δὲς, καὶ ἀεὶ μὴ ἐποχόμενον. ἢ ἢ τοῦ Πολυδώρου ψυ
χὴ, οὐχ ὅτω τῇ Ἑκάβῃ ἐφαίνετο, ἀλλὰ ζοφερὰ, καὶ σκιᾶς
πρόσιον, καὶ δυσείκασον. δηλα γὰν τὴν τοιαύτην
μορφὴν τῆς ἀλαφῆ ⸫ συγκεχυμένην, εἴδωλα φασὶ
οἱ Σοφοὶ τὰς ψυχὰς τῶν σωμάτων. ⸫ Πλάτων γὰν
ἐν τῷ Φαίδωνι τὰ μὲν τοῖς τάφοις φαινόμενα σκιοὶ
δὴ φαντάσματα, ψυχὰς Φιλοσωμάτους ὠνόμασεν,
ὡς μὴ ἢ μετὰ τῆς ἐντεῦθεν ἀρετῆς, πρὸς τὸ κα
θαρὸν αὐτόθεν φῶς, ἀλλ᾽ ἐπὶ τὰ σώματων ἐχομένας.
ἃ δὴ καὶ τὰς ἀνδραποδώδεις ἠγαπήκασιν ἡδο
νάς. δηλα ταῦτα μὴ δὲν εἴδωλον σώματων ἢ ψυχή.
ἐνθις ἢ σῶμα, ψυχῆς εἴδωλον. ὅτι περ ὁ τότῳ ὀ
φθαλμὸς, ἐκείνη ὁ νοῦς. καὶ ὁ τότῳ ἀφὴ, ἐκείνη πά
λιν ἐξέτασική. καλλίων δὲ νοῦς, ὀφθαλμῶ, ⸫ νοερὰ
ζήτησις, δυνάμεως ἀπλικῆς. δηλα ταῦτα πά
λιν εἴδωλον τὸ σῶμα τῆς ψυχῆς. τὶ δὲ
ὄνομα τοῦτο, ὁ χρισιανῶν ἐμνασά
χθη θεσμὸς ὅτι δὴ τοῖς ἐλ
ληνικοῖ θεοῖς ἐπεφη
μίζον εἰκα
μα.

Θωμᾶ τοῦ μαγίστρου σώφρονις τοῦ τὸ βίον Εὐριπί
δου, καὶ τῆς τοῦ δράματος ὑποθέσεως.

Ε Υ̓ριπίδης τῷ πατρὶ, πατρὶς ἦν, Ἀθῆναι. πατρὸς
ἢ Μνησάρχου κάπηλος, ⸫ Κλειτοῦς λαχανόπωλις.
γεννηθεὶς ἢ ἐν Σαλαμῖνι τῇ πρὸς τῇ Ἀττικῆς νήσῳ,
ἐπὶ Καλλίου ἄρχοντος, ἰσῇ τῷ πέμπτῳ καὶ ἑβδο
μηκοστῷ ὀλυμπιάδος, ὅτε καὶ ὁ τοῦ Ξέρξου ναυλικὸν
καῖ ζωαμάχησε ἀθλωτὸς, πρῶτον μὲν νίκησε πα
γκράτιον, καὶ πυγμῇ, τοῦ πατρὸς αὐτῷ χρησμὸν λα
βόντος, ὅτι σεφανηφόρους ἀγῶνας ὁ παῖς αὐτῷ νική
σει. ὁ δὴ καὶ εἰς ὀργὴν προῆλθε. ἐνίκησε γὰν ταῦτα
Ἀθήνησιν. ἔπειτα εἰς λόγους ὡρμηκὼς, ἐφοίτησε πα
ρὰ Ἀναξαγόρᾳ. καὶ Πρωδίκῳ, καὶ Ζήσιν ἄλλοις. ἀγχί
νους δὲ ὢν εἰπέρ τις, καὶ δεῖ πονεῖν ἑαυτὸν ἐλισθεσθω
κὼς, εἰς βαγῳδίαν ἐτράπη, ⸫ ἔλαμψεν ὑπὸ ταύ
τῃ σεμνῶς. πολλὰ γὰρ εἰς τὴν τέχνην ἐξεῦρεν, ἃ
δὴ εἰσιδόντες τῶν πρὸ αὐτοῦ. τό, τε γὰν ἐν ἀρχῇ τοῦ
δράματος τὴν κατάθεσιν διατυπῶν, καὶ τὸν ἀκροα
τὴν ὥσπερ χειραγωγῶν εἰς τὸ ἐμπεδῶσαι, εὐριπίδης
τέχνημα. τό, τε ἐξαίφνης καὶ πλάκος ἔχειν τὰ λε
γόμενα, καὶ τὴν ἑρμηνείαν ποικίλλειν ὑπὸ χρήσεσί
τε καὶ ῥυθμῷ χαρίεντι, καὶ γνώμας εἰσάγειν σφο
δρὰς, καὶ μάλα δεῖ ὑποκρινόμενον πρόσφορας, θαυμα
στός. ἔγραψε μὲν δράματα σύν ⸫ ἐννεήκοντα
τὰ πάντα. ἐν οἷς λέγεται μόνα ἐξ τετρακά. νενίκηκε
δὲ ἐν πᾶσι τούτοις τοῖς δράμασι, νίκας πρωτεία
κα. ἤρξατο δὲ τοῦ πρὸ τεττάρων ἀγῶνος, ἑπτὼν πρώτε
ων εἴκοσι γεγονώς. φασὶ δὲ αὐτὸν ⸫ ζωγράφον γεγο
νέναι, ⸫ δείκνυσθαι αὐτοῦ πινάκια ἐν μεγάροις. γυ

καὶκὲ δ' ἡμᾶς, πρώτῃ μ', Μελιτέω. ἐπὶ τὰ αὐτ'
ἀπελθάσις, χοιρίλλω. ὑὸς ἔχε βοῆς. Μνησαρχίδ' ἐμπορον. Μνησίλοχον τὸν κιθαρῳδὸν, καὶ ὁ μόνυμον αὖθ' Εὐριπίδῃ, περὶ λόγας διατρίβοντα. ἰὼ ἰὼ σύννους, καὶ σκυφνὸς ὁ ἦθος, ὁ μισόγελως, ὁ σκυθρωπὸς, καθὰ καὶ Αἰσχύλος σκώπτων φησίν. Σκυφνός ἐμοιγε προσεοικεν Εὐριπίδης. φωράσας ἢ τὸν αὐτ' ὄντα κιθαρῳδὸν τὰ ὠδὴ τῇ γυναικὶ, ἡ δ' ἐντυχοῦσα μὴ φέρ' Αἰσχύλῳ, σκωπτόμενος ὑπὸ τ' κωμῳδοποιῶν, ἀφεὶς τὴν Ἀθήνησι διατριβὴν, εἰς Μακεδονίαν ἀπῆρε πρὸς τὸν Βασιλέα Ἀρχέλαον. ἡ δ' ἐχθεὶς ὑπ' αὐτ' κάλλιστα, ἡ φιλοτιμηθεὶς, μεγίστης ἠξίου τιμῆς. διατριβὴν δ' ἐκεῖ, ἐπεὶ δὴ γ' ἵνι ἄλσει φροντίζων ἔτυχε. καταβρωθὴ ὡς φασὶν ὑπὸ τῶν Ἀρχελάου κυνῶν, τὸ Μακεδόνων βασιλέως ὀγδοήκοντα ἐπιγεγονώς. ἐτάφη μὲν δ' γ' Μακεδονίας. κενοτάφιον δὲ αὐτ' Ἀθήνησι γέγονεν. ἐφ' ᾧ ἐπέγραψε θρασυδ' ὃς ὁ συγγραφεύς, ἢ Τιμόθεος ὁ μελοποιός, τάδε. Μνᾶμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδ'. ὀστέα δ' ἴσχει Γῆ Μακεδών. ἢ γὰρ δέξατο τόρμα βίου.

Γαῖρις δ' Ἑλλάδος ἑλλὰς, ἀθῆναι πλεῖστα ἢ μόχθας
τόρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχῃ.

Φασὶ ἢ ὠδὴ τοῦ ἀκούσαντα τὸν Εὐριπίδ' πλαυτῆς, ὃν μ' Ἀθηναίους πάντας πρυθῆσαι. Σοφοκλέα δὲ, αὐτὸν μ' φασὶν ὑπὸ τ' ἀκούσαντα ἱκετῶνα, ὃν ἢ τὸν ὁπλιτὰς αὐτῶ, ἀστεφανώτους τοῦ τότε εἰσαγαγεῖν πρὸς τὸν ἀγῶνα ὅτῳ ἢ αὐτὸν φίλημων ἡγάπησεν. ὡς καὶ τάδε περὶ αὐτῶ πολιτῆσαι εἰπεῖν.

Εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
Αἴδην εἶχον ἄνδρες ὥσφασιν ζωὲς,
Ἀπηγξάμην ἄν, ὥστ' ἰδεῖν Εὐριπίδην.
ὅτως ἡγοῦν το πολλὸ ζωὸς ἄξιον.

Η ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΟΥΤΩΣ ΕΧΕΙ.

Μετὰ τὴν Τροίας ἅλωσιν ἄραντες οἱ Ἕλληνες, καθορμίσθησαν ἐν τῇ αὐλιπόρᾳ χερρονήσῳ ἡ Θρᾴκης, ἧς Πολυμήστωρ ἦρχεν. ὃ δὴ καὶ κρυπτάφιον ἔχων Ἀχιλλεῖ, ἣν Τροίᾳ ταφήν. διαβιβάντες ἢ ἐκεῖ ἡμέρας δύ' ἢ τρεῖς, ἐφ' ᾧ τὰ αὐτ' εὖ διαθήσουσ', ἐπεὶ ἀναχθήσεσθαι ἔμελλον, φανὲν τὸ τοῦ Ἀχιλλέως εἴδωλον ἐπὶ τοῦ τάφου, ἐπέσχε τοὺς Ἀχαιοὺς τ' ἀναγωγῆς, αἰτοῦν γὰρ ἀπ' αὐτῶν δόθηναι τῇ παῖδα Πριάμου Πολυξένην, τῇ μὴ πρόπορον καταχθονίσαι αὐτῷ ὑπὸ τοῦ πατρός. διὸ δὴ καὶ Πύρρος καὶ Δημοφόων τὸ ξυθέντα, ὀλωλέναι, ὅτε τὰς ἐκ Τροίας πρὸς ὅμαν πλεῦσαν ἔμελλε Πρίαμος. Ἕλληνες μὲν δὴ ὧν εὖ ἔπαθον ὑπ' αὐτοῦ μεμνημένοι, καὶ τιμῶντες τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἐψηφίσαντο σφάξαι τῇ Πολυξένην ὠδὴ τῷ τάφῳ τ' ἥρωος. ἔπεμψαν ἢ τ' λαοπρεπεστάτους Ὀδυσσέα πρὸς τὴν μητέρα αὐτῆς Ἑκάβην, ὡς αὐτὴν τε πρεσβύτιδα λάβοι, καὶ τοῦ ποικίλων τ' λόγων, ἀνδρὸς γὰρ ἦν ὁ ἀνὴρ, πείσοι Ἑκάβην, μὴ δυσχερῶς φέρειν ὠδὴ τὴν τ' παιδὸς ἀφαιρέσει. ἐλθὼν δὲ Ὀδυσσεὺς, τὴν τε πόλιν σωφρονοῦσαν εὗρεν αὐτῷ τ' ἀσφαλῆ. καὶ πείθουσαν τὴν μητέρα, ὡς τεθνήξεσθαι μᾶλλον αὐτὴν πρόσπολον, ἢ τὸ ζῆν παρ' ἀξίαν. σφαγείσης ἢ τ' πρεσβύτιδος, Ἑκάβη βοράπτιναν αὐτῆς ἔπεμψε πρὸς τὰς ἁλιτὰς, ἐφ' ᾧ

ὕδωρ ἐκεῖθεν κομίσαι πρὸς λουτρὸν Πολυξένης. εὗρε δὲ Πολύδωρον ἐκεῖ κείμενον. ἁλοῦσαν γὰρ ὡς ἔγνω τὴν Τροίαν Πολυμήστωρ, σφάξας αὐτὸν, ἔρριψεν εἰς τὴν θάλασσαν, ὡς ἂν αὐτὸς ἔχῃ τὸν χρυσὸν, ὃν πρὸς αὐτὸν μετὰ τοῦ παιδὸς Πολυδώρου πρώην Πρίαμος ἔπεμψε λάθρᾳ, ἐπειδὴ ἑώρα τὸ Ἰλιον πρὸς κίνδυνον ἤδη χωροῦν. ἦν δὲ ὁ χρυσὸς οὗτος πολὺς ἄγαν, καὶ ἱκανὸς ὀρθῶσαι καὶ αὖθις τὸ γένος τοῦ Πριάμου. ὡς οὖν οὗτον εὗρεν ἡ δούλη κείμενον ἐπ' ἀκταῖς, ἀνελομένη, καὶ τῷ πέπλῳ εἰλίξασα, κομίζει πρὸς τὴν Ἑκάβην. καὶ ἡ τὸν τῆς Πολυξένης νεκρὸν πρὶν ἐκκεκαλύφθαι οὗτον εἶναι νομίσασα, ἐπειδὴ ἔγνω Πολύδωρον, ἀθλίως τε ἔσχε, καὶ ὅπως ἀμυνεῖτο Πολυμήστορα, μηχανᾶτο τοιόνδε. κοινωσαμένη πρότερον τὴν περὶ τούτου γνώμην Ἀγαμέμνονι, πέμπει τὴν αὐτῆς δούλην ὡς Πολυμήστορα, αὐτόν τε καὶ τὰ τέκνα πρὸς ἑαυτὴν μετακαλουμένη περί τινος ἀναγκαίου πρὸς αὐτὸν κοινώσασθαι. οὗτος μὲν οὖν ἀγνοῶν ὅτι Πολύδωρος εὕρητο παρὰ τὰς ἀκτὰς, καὶ ἅμα καί τισιν ὑποκλαπεὶς, μετὰ τῶν παίδων πρὸς αὐτὴν ἀφικνεῖτο. Ἑκάβη δὲ πρὸς αὐτὸν τούτου χάριν ἔφη κεκληκέναι, ἵνα χρυσοῦ θησαυρὸς κεκρυμμένος ὑπ' αὐτῆς ἐν Ἰλίῳ μηνύσῃ. εἰσάγει δὲ καὶ τοῦ σκηνῆς ἔνδον εἰποῦσα, ὡς ἂν καὶ ἕτερ' ἄττα αὐτῷ δώσει χρήματα, μεθ' ὧν ἐξῆλθε τῆς Τροίας. ἐκέκρυπτο δὲ εἴσω πλεῖστος γυναικῶν ὄχλος. σὺν αἷς οὗτον εἰσελθόντα Ἑκάβη, ὀφθαλμῶν τε στερεῖ, καὶ τὰ τέκνα αὐτοῦ ἀποσφάττει. δικάσαντος δὲ αὐτοὺς τοῦ Ἀγαμέμνονος ὕστερον, καὶ τοῦ Πολυμήστορος πολλὰ περὶ τῆς σφαγῆς Πολυδώρου διαπλασσαμένου, Ἑκάβη περιεγένετο, ἐλέγξασα αὐτὸν ὡς τοῦ χρυσοῦ χάριν, καὶ οὐχ ὧν

ὧν προὔτεινε, τὸν παῖδα ἀνεῖλε, σύμψηφον σχοῦσα καὶ Ἀγαμέμνονα.

Η μὲν σκηνὴ τοῦ δράματος ὑπόκειτο ἐν τῇ ἀντιπέραν τοῦ Θρᾴκης χερρονήσῳ. ὁ δὲ χορὸς, συνέστηκεν ἐκ γυναικῶν αἰχμαλωτίδων Τρῳάδων, συμμαχησασῶν τῇ Ἑκάβῃ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Πολυδώρου εἴδωλον.	Ὀδυσσεύς.
Ἑκάβη.	Ταλθύβιος.
Χορὸς ἐκ τρῳάδων	Θεράπαινα Ἑκάβης
αἰχμαλωτίδων.	Ἀγαμέμνων.
Πολυξένη.	Πολυμήστωρ.

Προλογίζει δὲ ὁ Πολύδωρος

ΕΥΡΙΠΙΔΟΥ
ΕΚΑΒΗ.



Ἥκω νεκρῶν κευθμῶνα καὶ σκό
του πύλας
λιπὼν, ἵν' ᾅδης χωρὶς ᾤκι
σται θεῶν,
Πολυδωρος Εκάβης παῖς γεγώς τῆς Κισσέως,
Πριάμου τε πατρός. ὃς μ' ἐπεὶ Φρυγῶν πολιν
κινδυνος ἔσχε δορὶ πεσεῖν ἑλληνικῷ,
δείσας, ὑπεξέπεμψε Τρωϊκῆς χθονὸς,
Πολυμήστορος πρὸς δῶμα θρηϊκίου ξένου.
ὃς τὴν ἀρίστην χερρονησίαν πλάκα
σπείρει, φίλιππον λαὸν εὐθύνων δορί.
πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάτρᾳ
πατὴρ, ἵν' εἴποτ' Ιλιου τείχη πέσοι,
τοις ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου
νεώτατος δ' ἦν Πριαμιδῶν, ὃ καὶ μεγῆς
ὑπεξέπεμψεν. οὔτε γὰρ φέρειν ὅπλα,
οὔτ' ἔγχος οἷός τ' ἦν νέῳ βραχίονι.
ἕως μὲν οὖν γῆς ὄρθ' ἐκεῖθ' ὁρίσματα,
πύργοι τ' ἄθραυστοι Τρωϊκῆς ἦσαν χθονὸς,
Εκτωρ τ' ἀδελφὸς οὐ μὸς ηὐτύχει δορὶ,
καλῶς παρ' ἀνδρὶ θρηκὶ πατρῴῳ ξένῳ,
τροφαῖσιν ὡς τις πτόρθος ηὐξόμην τάλας.
ἐπεὶ δὲ Τρόια θ', Εκτορός τ' ἀπώλετο
ψυχὴ, πατρῴα θ' ἑστία κατεσκάφη,
αὐτὸς δὲ βωμῷ πρὸς θεοδμήτῳ πιτνεῖ,
σφαγεὶς Αχιλλέως παιδὸς ἐκ μιαιφόνου,
κτείνει με χρυσοῦ τὸν ταλαίπωρον χάριν

ξένῳ πατρῷος. κἀκ τανὼν, ἐς οἶδμ' ἅλὸς
μεθῆχ', ἵν' αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ.
κεῖμαι δ' ἐπ' ἀκταῖς, ἄλλοτ' ἄλλοσε πόντου σάλῳ,
πολλοῖς δι' αὐλοις κυμάτων φορούμενη,
ἄκλαυστος. ἄταφος, νῦν δ' ὑπὲρ μητρὸς φίλης
Ἑκάβης ἀίσσω σῶμ' ἐρημώσας ἐμόν,
πρίσαιον ἦλθ' ἐφ' ἁμὸν ἀμφὶ μηνὸς,
ὅσονπερ ἐν γῇ τῇδε χειμῶνος ἀκμὴ
μήτηρ ἐμὴ δύστηνος ἐκ Τροίας πάρα.
πάντες δ' Ἀχαιοὶ ναῦς ἔχοντες, ἠσυχοι
θάσσουσ' ἐπ' ἀκταῖς τῇσδε θρηϊκίας χθονός.
ὁ Πηλέως γὰρ παῖς ὑπὲρ τύμβου φανεὶς,
κατεσχ' Ἀχιλλεὺς πᾶν στράτευμ' Ἑλληνικὸν,
πρὸς οἶκον εὐθύνοντας εἰναλίαν πλάτην.
αὐτεῖ δ' ἀδελφὴν τὴν ἐμὴν Πολυξένην
τύμβῳ φίλον πρόσφαγμα κἀγέρας λαβεῖν.
κἀγὼ τοὔξεδ' τοῦδ', ὁδὶ ἀδώρητον φίλων
ἔσαι πρὸς ἀνδρῶν. ἡ πανερωμένη δ' ἄγει
θανεῖν ἀδελφὴν τὴν ἐμὴν τῇδ' ἡμέρᾳ.
δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται
μήτηρ, ἐμοῦ τε, τῆς τε δυσμόρου κόρης
φανήσομαι γὰρ ὡς τάφου τλήμων τύχω,
δόλῳ πολεῖν πάροιθεν ἐν κλυδωνίῳ.
τὰς γὰρ κάτω δόξαντας ἐξεπισάμην
τύμβου κυρῆσαι, κεἰς χέρας μητρὸς πεσεῖν.
τὸ μὲν μὲν δὴ ὅσονπερ ἤθελον τυχεῖν,
ἔσαι. γεραιᾷ δ' ἐκ πολῶν χωρήσομαι
Ἑκάβη. περᾷ γὰρ ἦδ' ὑπὸ σκηνῆς πόδα
Ἀγαμέμνονος, φάντασμα δειμαίνουσ' ἐμόν.
φεῦ ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων,
δόλειον

δόλειον ἦ μαν εἶδες. ὡς πράσσεις κακῶς,
φθείρει θεῶντις τῆς πάροιθ' ὑπερβολῆς.
ὅσονπερ εὖ ποτ'. αὖ τις κἀκ τῶν δ' ἐσε
ἄγετ' ὦ παῖδες τὴν γραῦν πρὸ δόμων,
ἄγετ' ὀρθῶσαι τὴν ὁμόδουλον νῦν
πρωΐδες, ὑμῖν πρόσθεν δ' ἄνασσαν.
λάβετε, φέρετε,
πέμπετ', ἄειρε τέ μ' ὀλεμὸς,
γεραιᾶς χειρὸς προσλαζὺ μόναι.
κἀγὼ σκολιῷ σκήπωνι χερὸς
δύσεισβολλὰ, πωλύσω βραδύπαυ,
πλυσίᾳ ἄρθρων πρόπιθεσις.
ὦ σεροπὰ Διὸς, ὦ σκοτία νύξ,
πίπτω' ἄρα μ' ἐννυχος ὅτω
δόλιοι, φάσμασιν; ὦ πότνια χθὼν
μελανοπερύγων μᾶτερ ὀνείρων,
ἀποπέμπω σοι ἔννυχον ὄψιν,
ἣν πρεσβὶ παιδὸς ἐμᾶς
τὸ σωζόμενον κατὰ θρῄκην,
ἀμφὶ Πολυξένης τε φίλης
θυγατρὸς δι' ὀνείρων εἶδον.
εἶδον γὰρ φοβερὰν ὄψιν.
ἔ μαθον. ἐλάκην
ὦ χθόνιοι θεοὶ. σώζατε παῖδ' ἐμόν,
ὃς μόνος οἴκων ἀγκυρά τ' ἐμῶν,
τὴν χιονώδη Θρῄκην κατέχει,
ξεῖνα πατρῷα φυλακαῖσιν. ἔσαι τι νέον.
ἥξει τι μέλος γοερὸν, γοεραῖς.
ὅπου τ' ἐμὰ φρὴν ὧδ' ἀλίκτυπος
φρίσσει, πάρβει.

πῦ ποτε θείαν Ελένυ ψυχὰν,
ἢ Κασάνδρας ἐσίδω Τρῳάδες,
ὥς μοι κρίνωσ' ὀνείρυς;
εἶδον γὰρ βαλιὰν ἔλαφον
λύκυ αἵμονι χαλᾷ σφαζομέναν,
ἀπ' ἐμῶν γονάτων σπασθεῖσαν ἀνάγκᾳ
οἰκτρῶς. καὶ τόδε δεῖ μά μοι
ἤλυθ' ὑπὲρ ἄκρας τύμβυ κορυφᾶς
φάντασμ' Αχιλλῆος.
ἤτει δὲ γέρας τῶν πολυμόχθων
τινὰ Τρωϊάδων.
ἀπ' ἐμᾶς οὖν ἀπ' ἐμᾶς τόδε παιδὸς
χο πέμψατε δαίμονες ἱκετεύω.
Εκάβη, σπυδῇ πρός σ' ἐλιάσθην,
τὰς δεσποσύνυς σκηνὰς προλιπῦσα
ἵν' ἐκληρώθην καὶ προσετάχθην
δύλη, πόλεως ἀπελαυνομένα
τῆς Ιλιάδυς λόγχης αἰχμῇ.
δορυθήρατος πρὸς Αχαιῶν,
ὀυδὲν παθέων ἀποκυφιξυσ',
ἀλλ' ἀγγελίας βάρος ἀραμένα
μέγα, σοί τε γύναι κήρυξ ἀχέων.
ἐν γὰρ Αχαιῶν πλήρει ξυνόδῳ
λέγεται δόξαι σὴν παῖδ' Αχιλλεῖ
σφάγιον θέσθαι. τύμβυ δ' ἐπιβὰς,
οἶσθ' ὅτε χρυσέοις ἐφάνη σὺν ὅπλοις
τὰς ποντοπόρυς δ' ἔσχε σχεδίας,
λαίφη πρὸ τόνοις
ἐπερειδομένας,
τάδε θωΰσσων,

ποῖ δὴ Δαναοὶ
τὸν ἐμὸν τύμβον στέλλεσθε
ἀγέρασον ἀφέντες;
πολλῆς δ' ἔριδος συνέπεσε κλύδων.
δόξα δ' ἐχώρει δίχ' ἀν' Ελλάνων
στρατὸν αἰχμητὴν, τοῖς μὲν, διδόναι
τύμβῳ σφάγιον, τοῖς δ' ὀυχὶ δοκοῦν.
ἦν δὲ τὸ μὲν σὸν σπεύδων ἀγαθὸν,
τῆς μαντιπόλυ Βάκχης ἀνέχων
λέκτρ' Αγαμέμνων.
τὼ Θησείδα δ' ὄζω Αθηνῶν
δισσῶν μύθων ῥήτορες ἦσαν.
γνώμη δὲ μιᾷ συνεχωρείτην,
τὸν Αχίλλειον τύμβον στεφανοῦν
αἵματι χλωρῷ. τὰ δὲ Κασάνδρας
λέκτρ' ὀυκ ἐφάτην τῆς Αχιλλείας
πρόσθεν θήσειν πότε λόγχης.
σπυδαὶ δὲ λόγων κατατεινομένων
ἦσαν ἴσαί πως, πρὶν ὁποικιλόφρων
κόπις, ἡδυλόγος, δη μοχαριστὴς,
Λαερτιάδης πείθει στρατιὰν,
μὴ τὸν ἄριστον Δαναῶν πάντων,
δούλων σφαγίων ὕνεκ' ἀπωθεῖν.
μὴ δὲ τὶν εἰπεῖν παρὰ Περσεφόνη
στάντα φθιμένων,
ὡς ἀχάριστοι Δαναοὶ Δαναοῖς
τοῖς οἰχομένοις ὑπὲρ Ελλήνων,
Τρόιας πεδίων ἀπέβησαν.
ἥξει δ' Οδυσσεὺς ὅσον ὀυκ ἤδη,
πῶλον ἀφέλξων σῶν ἀπὸ μαζῶν,

ἔκ τε γεραιᾶς χειρὸς ὁρμήσων.
ἀλλ' ἴθι ναούς. ἴθι πρὸς βωμούς.
ἵζ' Ἀγαμέμνονος ἱκέτις γονάτων.
κήρυσσε θεοὺς τούς τ' οὐρανίδας,
τούς θ' ὑπὸ γαῖαν. ἢ γάρ σε λιτὰι
διακωλύσουσ' ὀρφανὰν εἶναι
παιδὸς μελέας, ἢ δεῖ σ' ἐπιδεῖν
τύμβου πρωπετῆ φοινισσομέναν
αἵματι παρθένον ἐκ χρυσοφόρου
δειρῆς, νασμῷ μελαναυγεῖ.
ἑκά οἴ ἐγὼ μελέα. τί ποτ' ἀπύσω;
ποίαν ἀχώ; ποῖον ὀδυρμόν;
δειλαία, δειλαίου γήρως,
δουλείας τᾶς οὐ τλατᾶς,
τᾶς οὐ φερτᾶς. ᾤ μοι μοι.
τίς ἀμύνει μοι; πόια γέννα;
πόια δὲ πόλις;
φροῦδος πρέσβυς. φροῦδοι παῖδες.
ποίαν ἢ τάυταν ἢ κείναν
στείχω; ποῖ δ' ἥσω; ποῦ τις θεῶν
ἢ δαι μόνων ἐπαρωγός;
ὦ κάκ' ἐνεγκοῦσαι Τρῳάδες,
ὦ κάκ' ἐνεγκοῦσαι πήματα,
ἀπωλέσατ', ὠλέσατ'. οὐκέτι μοι
βίος ἀγαστὸς ἐν φάει.
ὦ τλᾶμον ἅγησαί μοι
πούς, ἅγησαι τᾷ γραίᾳ
πρὸς τάνδ' αὐλάν. ὦ τέκνον, ὦ παῖ
δυστανοτάτας ματέρος.

ἔξελθ'

ἔξελθ' ἔξελθ', οἴκων. ἄϊε ματέρος
αὐδὰν ὦ τέκνον, ὡς ἴδῃς
οἵαν οἵαν
ἀΐω φάματαν περὶ σᾶς ψυχᾶς.
πολ ἰὼ μᾶτερ μᾶτερ, τί βοᾶς; τί νέων
κηρύξασ', οἴκων μ' ὥστ' ὄρνιν
θάμβει τῷδ' ἐξέπταξας;
ἑκά ᾤ μοι τέκνον.
πολ τί μεδυσφημεῖς φροί μιά μοι κακά;
ἑκά αἶ αἶ σᾶς ψυχᾶς.
πολ ἐξάυδα, μὴ κρύψῃς δαρόν.
δει μαίνω δει μαίνω μᾶτερ,
τίποτ' ἀναστένεις.
ἑκά ὦ τέκνον, τέκνον
μελέας ματρός.
πολ τί τόδ' ἀγγέλλεις;
ἑκά σφάξαισ' Ἀργείων κοινᾷ
συντείνει πρὸς τύμβον γνώμᾳ
Πηλείδα γέννα.
πολ οἴ μοι μᾶτερ, πῶς φθέγγῃ
ἀμέγαρτα κακῶν;
μάνυσόν μοι μάνυσόν μοι μᾶτερ.
ἑκά αὐδῶ παῖ δυσφήμους φάμας.
ἀγγέλλουσ' Ἀργείων δόξαι ψήφῳ
τᾶς σᾶς περί μοι ψυχᾶς.
πολ ὦ δεινὰ παθοῦσ', ὦ παντλᾶμον,
ὦ δυστάνου μᾶτερ βιοτᾶς,
οἵαν οἵαν αὖ σοι λώβαν ἐχθίσταν,
ἀῤῥήταν τ' ὦρσέ τις δαίμων.
οὐκέτι σοι παῖς ἅδ'. οὐκέτι δὴ

γήρᾳ δειλαίῳ δειλαία συνδουλεύσω.
σκύμνον γάρ μ' ὥστ' οὐριθρέπταν
μόσχον δειλαία δειλαίαν
ἐσόψει χειρὸς ἀναρπαστὰν
σᾶς, ἄπολαι μόνο μέν τ' ἀΐδᾳ
γᾶς ὑποπεμπομένᾳν σκότον.
ἔνθα νεκρῶν μέτα ἁτάλαινα κείσομαι.
καὶ σὲ μὲν μᾶτερ δύσανε
κλαίω πανοδύρτοις θρήνοις.
τὸν ἐμὸν δὲ βίον, λώβαν, λύμαν
τ' οὐ μετακλαίομαι. ἀλλὰ θανεῖν μοι
ξυντυχία κρείσσων ἐκύρησεν.
χο καὶ μὴν Οδυσσεὺς ἔρχεται σπουδῇ ποδὸς
Εκάβη, νέον τι πρὸς σὲ σῃ μανῶν ἔπος.
ὀδυ γύναι, δοκῶ μὲν σ' εἰδέναι γνώμην στρατοῦ,
ψῆφόν τε τὴν κρανθεῖσαν. ἀλλ' ὅμως φράσω.
ἔδοξ' Αχαιοῖς παῖδα σὴν Πολυξένην,
σφάξαι πρὸς ὀρθὸν χῶμ' Αχιλλείου τάφου.
ἡμᾶς δὲ πομπὸς καὶ κομιστῆρας κόρης
τάσσουσιν εἶναι. θύματος δ' ἐπιστάτης,
ἱερεύς τ' ἐπέστη τοῦδε παῖς Αχιλλέως.
οἶσθ' οὖν ὃ δράσεις. μήτ' ἀποσπασθῇς βίᾳ,
μήτ' εἰς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί.
γίνωσκε δ' ἀλκὴν, καὶ παρουσίαν κακῶν
» τῶν σῶν. Σοφόν τι κἀν κακοῖς, ἃ δεῖ, φρονεῖν.
ἑκά αἶ. αἶ. παρέστηχ' ὡς ἔοικ' ἀγὼν μέγας,
πλήρης στεναγμῶν, οὐδὲ δακρύων κενός.
κἀγὼ γὰρ οὐκ ἔθνησκον, οὗ μ' ἐχρῆν θανεῖν.
οὐ δ' ὤλεσέ με Ζεύς. τρέφει δ' ὅπως ὁρῶ
κακῶν κάκ' ἄλλα μείζον' ἡ τάλαιν' ἐγώ.

εἰ δ' ἔστι

εἰ δ' ἔστι τοῖς δούλοισι τοὺς ἐλευθέρους
μὴ λυπρὰ, μὴ δὲ καρδίας δηκτήρια
ἐξιστορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεὼν
ἡμᾶς δ' ἀκοῦσαι τοὺς ἐρωτῶντας τάδε.
ὀδυ ἔξεστ'. ἐρώτα. τοῦ χρόνου γὰρ οὐ φθονῶ.
ἑκά οἶσθ' ἡνίκ' ἦλθες Ιλίου κατάσκοπος,
δυσχλαινίᾳ τ' ἄμορφος, ὀμμάτων τ' ἄπο
φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν;
ὀδυ οἶδ'. οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.
ἑκά ἔγνωδέ σ' Ελένη, καὶ μόνη κατεῖπέ μοι;
ὀδυ μεμνήμεθ', εἰς κίνδυνον ἐλθόντες μέγαν.
ἑκά ἥψωδε γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;
ὀδυ ὥστ' ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.
3 ἑκά ἔσωσα δῆτ', ἐξέπεμψά τε χθονός;
4 ὀδυ ὥστ' εἰσορᾶν φέγγος ἡλίου τόδε,
1 ἑκά τί δῆτ' ἔλεξας δοῦλος ὢν ἐμὸς τότε;
2 ὀδυ πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν.
ἑκά οὐκοῦν κακύνῃ τοῖσδε τοῖς βουλεύμασιν,
ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες οἷα φῂς παθεῖν,
δρᾷς δ' οὐδὲν ἡμᾶς εὖ, κακῶς δ' ὅσον δύνῃ;
» Αχάριστον ὑμῶν σπέρ μ', ὅσοι δημηγόρους
» Ζηλοῦτε τιμάς. μὴ δὲ γινώσκοισθέ μοι.
» Οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
» Ην τοῖσι πολλοῖς πρὸς χάριν λέγητέτι.
ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι,
εἰς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου;
πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποκτονεῖν
πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει,
ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων,
εἰς τήνδ' Αχιλλεὺς ἐνδίκως τείνει φόνον;

 ἀλλ'

ἀλλ᾽ οὐδὲν αὐτὸν ἦδ᾽ ἐ γ᾽ ἔργασαι κακόν.
Ελένην νιν αὐτεῖν χὴ τάφῳ πρόσφαγμα.
κείνη γ᾽ ὤλεσέ νιν, εἰς Τροίαν τ᾽ ἄγει.
εἰδ᾽ ἀιχμάλωτον χὴ τιν᾽ ἔκκριτον θανεῖν,
κάλλει θ᾽ ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε.
ἦ Τυνδαρεὶς γ᾽ εἶδος οὐ πρεπεστάτη.
ἀδλικοῦσάθ᾽ ἡμῶν οὐδὲν ἧσσον εὑρέθη.
ὦ μὴ δίκαίῳ, τόνδ᾽ ἁμιλλῶμαι λόγον.
ἆδ᾽ αὐτίδοναι δ᾽εἶσ᾽ ἀπαυτόσις ἐμοῦ,
ἄκουσον. ἥψω τῆς ἐμῆς ὡς φὴς χερός,
καὶ τῆσδε γεραιᾶς προσπιτνῶν παρηίδος;
αὐθάδη μά σε τῶνδε τῶν αὐτῶν ἐγώ,
χἀειν τ᾽ ἀπαιτῶ τὴν τόθ᾽, ἱκετεύουτέ σε
μή μ᾽ ὃ τέκνον ἐκ χερῶν ἁρπάσῃς.
μὴ δὲ κτάνητε. τῶν τεθνηκότων ἅλις.
ταύτη γένηθα, κἀπιλήθομαι κακῶν.
ἦδ᾽ αὐτὴ πολλῶν ἔσί μοι πρὸς ψυχή.
πόλις. πιθήνη. Βάκτρον. ἧγε μὴν ὁδῖ.
» Οὐ τὸς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεών,
» Οὐδ᾽ δὐτυχοῦτας, εὖ δοκεῖν πράξειν ἀεί.
» Κἀγὼ γὰρ ἦν ποτ᾽, ἀλλὰ νῦν οὐκέτ᾽ εἰμ᾽ ἔτι.
» Τὸν πάντα δ᾽ ὄλβον, ἦμαρ ὃν μ᾽ ἀφείλετο.
ἀλλ᾽ ὦ φίλον γένειον, αἰδ᾽ ἐδικτί με.
ὅι κτειρον. ἐλθὼν δ᾽ εἰς ἀχαϊκὴν στρατιᾶ,
πῦρ ὑγόρησον, ὡς ἀκρικτείνειν φθονῶ
γυναῖκας, ἃς τοπρῶτον οὐκ ἐκτείνατε,
βωμῶν ἀκρατάζαντες, ἀλλ᾽ ὠκτείρατε.
» Νόμῳ δ᾽ ὃ γ᾽ ὑμῖν τ᾽ ἐλευθέροις ἴσος,
» Καὶ τοῖσι δ᾽ ὄλοις ἅματ᾽ ὢν τῇ πέρι.
πολ᾽ ἀξίωμα κἄμ᾽ κακῶς λέγειν τὸ σόν,

πείσει

» πείσει. λόγος γὰρ ἔκτ᾽ ἀδεξύνταμι ἰῶμι
» κἀκ τῶν δοκούντων αὐτὸς, ἀ ταμὸν δένει.
χο οὐκ ἔσιν ὅστω σεβρὸς ἀνθρώπου φύσις,
ἥτις γόων σῶν καὶ μακρῶν ὀδυρμάτων
κλύουσα βρύσει, οὐκ ἂν ἐκβάλοι δ᾽ ἄκρυ.
ὀδυ Εκάβη, δι᾽ ἄσκου. μὴ δέ σ᾽ θυμὸς μὴν ὦ
τὸν εὖ λέγοντα δυσμενῆ ποιῦ φρενί.
ἐγὼ τὸ μὲν σὸν σῶμ᾽, ὑφ᾽ ὅτῳ κυτύχομι,
σώζειν ἕτοιμός εἰμι, κοὐκ ἄλλως λέγω.
ἃ δ᾽ εἶπον εἰς ἅπαντας, οὐκ ἀρνήσομαι,
Τρῳάς ἁλόσις, ἀνδρὶ τῷ πρώτῳ στρατοῦ
σὴν παῖδα δοῦναι σφάγιον ἐξαιτοῦμ᾽ ἐγώ.
» Εμ τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις.
» Οταί τις ἐσθλὸς καὶ προθυμος ὢν ἀνὴρ,
» Μηδὲν φέρητ᾽ τῶν κακίονων πλέον.
ἡμῖν δ᾽ Αχιλλεὺς ἄξιος τιμῆς γύναι,
θανὼν ὑπὲρ γῆς Ελλάδος κάλλιστ᾽ ἀνήρ.
» Οὐκοῦν τόδ᾽ αἰσχρὸν, εἰ βλέποντι μὲν φίλῳ
» χρώμεθ᾽, ἐπεὶ δ᾽ ὄλωλε, μὴ χρώμεθ᾽ ἔτι.
εἰεν. τί δ᾽ ἦτ᾽ ἐρεῖτις ἦν τις αὐ φανῇ
στρατοῦ τ᾽ ἄθροισις, πολεμίων τ᾽ ἀγωνίας;
πότερα μαχούμεθ᾽, ἢ φιλοψυχήσομεν,
τὸν κατθανόντ᾽ ὁρῶντες οὐ τιμώμενον;
» Καί μὴν ἔ μοιγε ζῶντι μὲν καθ᾽ ἡμέραν,
» Κεἰ σμικρὸ᾽ ἔχοιμι, πάντ᾽ ἂν ἀρκούντως ἔχοι.
» Τύμβου δὲ βαλοίμην ἂν ἀξιώματον
» Τὸν ἐ μὸν ὁρᾶσθαι. δῆλα μακρὸ γὰρ ἡ χάρις.
εἰ δ᾽ οἰκτρὰ πάσχειν φῄς, τάδ᾽ αὐτὰ κἀγὼ,
εἰσὶ παρ᾽ ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
γραῖαι γυναῖκες, ἥδε πρεσβύται σέθεν.

νύμφαι

νύμφαι τ' ἀρίστων νυμφίων τητώμεναι,
ὧν ἥδε κεύθει σώματ' Ἰδαία κόνις.
τόλμα τάδ'. ἡμεῖς δ' εἰ κακῶς νομίζομεν
τιμᾶν τὸν ἐσθλόν, ἀμαθίαν ὀφλήσομεν.
» Οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους
» Ἡγεῖσθε, μήτε τοὺς καλῶς τεθνηκότας
» Θαυμάζεθ'. ὡσ' ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ,
» Ὑμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν.
+ χο Αἶ αἶ τὸ δοῦλον ὡς κακὸν πεφυκέναι,
Τολμᾶθ' ἁμὴ χρὴ, τῇ βίᾳ νικώμενον
ἑκά ὦ θύγατερ, οὐ μοὶ μὲν λόγοι, πρὸς αἰθέρα
φρουδοι, μάτην ῥιφέντες ἀμφὶ σοῦ φόνου.
σύ δ' εἴ τι μείζω δύναμιν ἢ μήτηρ ἔχεις,
σπούδαζε, πάσας ὥστ' ἀνδόνος στόμα
φθογγὰς ἱεῖσα, μὴ στερηθῆναι βίου.
πρόσπιπτε δ' οἰκτρῶς τοῦδ' Ὀδυσσέως γόνυ,
καὶ πεῖθ'. ἔχεις δὲ πρόφασιν. ἔστι γὰρ τέκνα
καὶ τῷδε, τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην.
πολ ὁρῶ σ' Ὀδυσσεῦ δεξιὰν ὑφ' εἵματος
κρύπτοντα χεῖρα, καὶ πρόσωπον τοὔμπαλιν
στρέφοντα, μή σου προσθίγω γινειάδος.
θάρσει. πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία.
ὡς ἕψομαί σοι τοῦ, τ' ἀναγκαίου χάριν,
θανεῖντε χρῄζουσ'. εἰ δὲ μὴ βουλήσομαι,
κακὴ φανοῦμαι, καὶ φιλόψυχος γυνή.
τί γάρ με δεῖ ξῆν, ᾗ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων. τοῦτό μοι πρῶτον βίου.
ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμου
ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι.

δέσποινα

δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦν
γυναιξὶ, παρθένοισί τ' ἀπόβλεπτος μέτα.
ἴση θεῇσι, πλὴν τὸ κατθανεῖν μόνον.
νῦν δ' εἰμὶ δούλη. πρῶτα μὲν μετοὔνομα
τὸ θανεῖν ἐρᾷν τίθησιν, οὐκ εἰωθὸς ὄν.
ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
τύχοι μ' ἄν, ὅστις ἀργύρου μ' ὠνήσεται,
τὴν Ἑκτορός τε χ' ἁτέρων πολλῶν κάσιν.
προθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
σαίρειν τε δῶμα, κερκίσιντ' ἐφεστάναι,
λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει.
λέχη δὲ τὰ μὰ δοῦλος ὠνητὸς ποθὲν
χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
οὐ δῆτ' ἀφίη μ' ὀμμάτων ἐλεύθερον
φέγγος τόδ', ἅδη προστιθεῖσ' ἐμὸν δέμας.
ἄγ' οὖν μ' Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων.
οὔτ' ἐλπίδος γὰρ, οὔτε τοῦ δόξης ὁρῶ
θάρσος παρ' ἡ μῖν, ὥς ποτ' οὖν πρᾶξαί μεχρή.
μᾶτερ, σύ δ' ἡ μῖν μηδὲν. ἐμποδὼν γένῃ,
λέγουσα, μὴ δὲ δρῶσα. συμβούλου δέ μοι
θανεῖν, πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.
» Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν
» Φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ.
» Θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
» Ἡ ζῶν. τὸ γὰρ ζῆν μὴ καλῶς, μέγας πόνος.
χο δεινὸς χαρακτὴρ. κἀπίσημος ἐν βροτοῖς
ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας τοὔνομα τοῖσιν ἀξίοις.
ἑκά καλῶς μὲν εἶπας θύγατερ. ἀλλὰ τῷ καλῷ
λύπη πρόσεστιν. εἰ δὲ δεῖ τῷ Γηλέως

χάριν γενέσθαι παιδὶ, καὶ ψόγον φυγεῖν
ὑμᾶς Ὀδυσσεῦ, τήνδε μὲν μὴ κτείνετε,
ἡ μᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως,
κεντεῖτε, μὴ φείδεσθ'. ἐγὼ τέκον Γάριν,
ὃς παῖδα Θέτιδος ὤλεσεν τόξοις βαλών.
ὀδυ ὄ σ' ὦ γεραιὰ κατθανεῖν Ἀχιλλέως
φάντας μ' Ἀχαιοὺς, ἀλλὰ τήνδ' ἠτήσατο.
ἑκά ὑμεῖς δέ μ' ἀλλὰ θυγατρὶ συμφονεύσατε.
καὶ δὶς τόσον πόμ' αἵματος γενήσετε,
γαίᾳ, νεκρῷ τε τῷ τάδ' ἐξαιτουμένῳ.
ὀδυ ἅλις κόρης σῆς θάνατος. οὐ προσοιστέος
ἄλλος πρὸς ἄλλῳ. μὴ δὲ τόνδ' ὠφείλομεν.
ἑκά πολλήγ' ἀνάγκη θυγατρὶ συνθανεῖν ἐμέ.
ὀδυ πῶς; οὐ γὰρ οἶδα δεσπότας κεκτημένος.
ἑκά ὁ ποῖα κισσὸς δριὸς ὅπως, τῆσδ' ἕξομαι.
ὀδυ οὐ μήνυγε πείθῃ τοῖσι σοῦ σοφωτέροις;
ἑκά ὡς τῆσδ' ἑκοῦσα παιδὸς οὐ μεθήσομαι.
ὀδυ ἀλλ' οὐδ' ἐγώ μιν τήνδ' ἄπειμ' αὐτοῦ λιπών.
πολ μῆτερ, πιθοῦ μοι. καὶ σὺ παῖ Λαερτίου,
χάλα τοκεῦσιν εἰκότως θυμουμένοις.
σύ δ' ὦ τάλαινα, τοῖς κρατοῦσι μὴ μάχου.
βούλει πεσεῖν πρὸς οὖδας, ἑλκῶσαί τε σὸν
γέροντα χρῶτα, πρὸς βίαν ὠθουμένη,
ἀσχημονῆσαί τ' ἐκ νέου βραχίονος
σπασθεῖσ'; ἃ πείσῃ μὴ σύγ'. οὐ γὰρ ἄξιον.
ἀλλ' ὦ φίλη μοι μῆτερ, ἡδίσταν χέρα
δὸς, καὶ παρειὰν προσβαλεῖν παρηΐδι.
ὡς οὔποτ' αὖθις, ἀλλὰ νῦν πανύστατα
ἀκτῖνα, κύκλον θ' ἡλίου προσόψομαι.
τέλος δέχου δὴ τῶν ἐμῶν προσφθεγμάτων.

ὦ μῆτερ

ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπει μι δὴ κάτω.
ἑκά ὦ θύγατερ, ἡ μεῖς δ' ἐν φάει δουλεύσομεν.
πολ ἄνυμφος. ἀνυμέναιος ὤν μ' ἐχρῆν τυχεῖν.
ἑκά οἰκτρὰ σὺ τέκνον, ἀθλία δ' ἐγὼ γυνή.
πολ ἐκεῖ δ' ἐν ᾅδου κείσομαι χωρὶς σέθεν.
ἑκά ὄι μοι. τί δράσω; ποῖ τελευτήσω βίον;
πολ δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου.
ἑκά ἡ μεῖς δὲ, πεντήκοντ' ἄμοιροι δὴ τέκνων.
πολ τί σοι πρὸς Ἕκτορ, ἢ γέροντ' εἴπω πόσιν;
ἑκά ἄγελλε πασῶν ἀθλιωτάτην ἐμέ.
πολ ὦ στέρνα, μαστοί θ', οἵ μ' ἐθρέψα θ' ἡδέως.
ἑκά ὦ τῆς ἀώρου θύγατερ ἀθλίας τύχης.
πολ χαῖρ' ὦ τεκοῦσα. χαῖρε Κασάνδρα τ' ἐμή.
ἑκά χαίρουσιν ἄλλοι, ματρὶ δ' οὐκ ἔστι χαρά.
πολ ὅ, τ' ἐν φιλίπποις Θρᾳξὶ Πολύδωρος κάσις.
ἑκά εἰ ζῇ γ'. ἀπιστῶ δ'. ὧδε πάντα δυστυχῶ.
πολ ζῇ. καὶ θανούσης, ὄμμα συγκλείσει τὸ σόν.
ἑκά τέθνηκ' ἔγωγε πρὶν θανεῖν, κακῶν ὕπο.
πολ κόμιζ' Ὀδυσσεῦ μ' ἀμφιθεὶς κάρα πέπλοις,
ὡς πρὶν σφαγῆναί γ', ἐκτέτηκα καρδίαν
θρήνοισι ματρὸς, τήνδ' ἔτ' ἐκτήκω γόοις.
ὦ φῶς, προσειπεῖν γὰρ σὸν ὄνο μ' ἔξεστί μοι.
μέτεστι δ' οὐδὲν, πλὴν ὅσον χρόνον ξίφους
βαίνω μεταξὺ, καὶ πυρᾶς Ἀχιλλέως.
ἑκά οἴ ἐγω. προλείπω. λύεται δέ μου μέλη.
ὦ θύγατερ, ἅψαι ματρός. ἔκτεινον χέρα.
δός. μὴ λίπῃς μ' ἄπαι δ', ἀπωλόμην φίλαι.
ὣς τὴν λάκαιναν σύγγονον Διοσκόροιν
Ἑλένην ἴδοιμι. δὰ καλῶν γὰρ ὀμμάτων,
αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα.

αὖρα ποντίας

χο αὖρα ποντιὰς αὖρα
ἅ τε ποντοπόρους κομίζεις
θοὰς ἀκάτους ἐπ' οἶδμα λίμνας,
ποῖ με τὰν μελέαν πορεύσεις;
τῷ, δουλόσυνος πρὸς οἶκον
κτηθεῖ σ' ἀφίξομαι;
ἢ Δωρίδος ὅρμον αἴας,
ἢ Φθιάδος, ἔνθα τὸν καλλίστων
ὑδάτων πατέρα
φασὶν Απιδανὸν πεδία λιπαίνειν;
ἢ νᾶσον, ἁλίηρει
κώπᾳ πεμπομέναν τάλαιναν,
οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
ἔνθα πρωτόγονός τε φοίνιξ,
δάφνα θ', ἱερὸς ἀνέσσε
πτόρθους Λατοῖ φίλᾳ,
ὠδῖνος ἄγαλμα δίας,
σὺν Δηλιάσι τε κούραισιν
Αρτέμιδός τε θεᾶς
χρυσέαν ἄμπυκα, τόξά τ' εὐλογήσω;
ἢ παλλάδος ἐν πόλει
τᾶς καλλιδίφρου Αθα
ναίας ἐν κροκέῳ πέπλῳ
ζεύξομαι ἅρματι πώλους
ἐν δαιδαλαίαισι ποικίλ
λουσ' ἀνθοκρόκοισι πήναις;
ἢ Τιτάνων γενεὰν
τὰν, Ζεὺς ἀμφιπύρῳ κοιμίζει
φλογμῷ κρονίδας;
ὤ μοι τεκέων ἐμῶν.

ὤ μοι

ὤ μοι πατέρων, χθονός
θ', ἃ καπνῷ κατερείπετ'
τυφομένα, δορίκτητος
ὑπ' Αργείων. ἐγὼ δ' ἐν
ξείνᾳ χθονὶ δὴ κέκλημαι
δούλα, λιποῦσ' Ασίαν
Εὐρώπας θεράπαιναν,
ἀλλάξασ' ἀΐδᾳ θαλάμους.
ταλ ποῦ τὴν ἄνασσαν δή ποτ' οὖσαν Ιλίου
Εκάβην ἂν ἐξεύροιμι Τρῳάδες κόραι;
χο αὕτη πέλας σου νῶτ' ἔχουσ', ἐπὶ χθονὶ.
Ταλθύβιε κεῖτο, συγκεκλεισμένη πέπλοις.
» ὦ Ζεῦ, τί λέξω; πότερά σ' ἀνθρώπους ὁρᾷν,
» ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην,
» ψευδῆ δοκοῦντας δαιμόνων εἶναι γένος,
» τύχην δ' πάντα τὰν βροτοῖς ἐπισκοπεῖν;
οὐχ ἥδε ἄνασσα τῶν πολυχρύσων φρυγῶν;
οὐχ ἥδε Πριάμου τοῦ μέγ' ὀλβίου δάμαρ;
καὶ νῦν πόλις μὲν πᾶσ' ἀνέστηκε δορί,
αὕτη δ', δουλὴ, γραῦς, ἄπαις, ἐπὶ χθονὶ
κεῖται, κόνει φύρουσα δύστηνον κάρα.
» φεῦ. φεῦ. Γέρων μὲν εἰ μ'. ὅμως δέ μοι θανεῖν
» εἴη, πρὶν αἰσχρᾷ περιπεσεῖν τύχη τινί.
ἀνίστασ' ὦ δύστηνε, καὶ μετάρσιον
πλευρὰν ἔπαιρε, καὶ τὸ πάλλευκον κάρα.
ἑκά ἔα. τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷ
κεῖσθαι; τί κινεῖς μ' ὅστις εἶ, λυπουμένην;
ταλ Ταλθύβιος ἥκω Δαναϊδῶν ὑπηρέτης,
Αγαμέμνονος πέμψαντος ὦ γύναι μέτα.
ἑκά ὦ φίλτατ', ἆρα κἄμ' ἐπισφάξαι τάφῳ

δοκῶν Αχαιοῖς ἦλθες; ὡς φίλ' ἂν λέγοις.
σπεύδωμεν. ἐγκονῶμεν. ἡγοῦ μοι γέρον
ταλ σὴν παῖδα κατθανοῦσαν ὡς θάψῃς γύναι,
ἥκω μεταστείχων σε. πέμπουσι δέ με
δισσοί τ' Ατρεῖδαι, καὶ λεὼς ἀχαϊκός
ἑκά οἴ μοι, τί λέξεις; οὐκ ἄρ' ὡς θανουμένους
μετῆλθες ἡμᾶς, ἀλλὰ σημανῶν κακά;
ὄλωλας ὦ παῖ. μητρὸς ἁρπασθεῖσ' ἄπο.
ἡμεῖς δ' ἄτεκνοι τοὐπίσ'. ὢ τάλαιν' ἐγώ.
πῶς καί νιν ἐξεπράξατ'; ἆρ' αἰδούμενοι
ἢ πρὸς τὸ δεινὸν ἦλθεθ', ὡς ἐχθρὰν γέρον
κτείνοντες; εἰπὲ, καί πρ' οὐ λέξων φίλα.
ταλ διπλᾶ μεχρήζεις δάκρυα κερδάναι γύναι,
σῆς παιδὸς οἴκτῳ. νῦν τε γὰρ λέγων κακὰ,
τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο,
Παρῆν μὲν ὄχλος πᾶς ἀχαϊκοῦ στρατοῦ
πλήρης πρὸ τύμβου σῆς κόρης ἐπὶ σφαγάς.
λαβὼν δ' Αχιλλέως παῖς Πολυξένην χερός;
ἔστης ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ.
λεκτοί τ' Αχαιῶν ἔκκριτοι νεανίαι,
σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν,
ἕσποντο. πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
πάγχρυσον, ἔρρει χειρὶ παῖς Αχιλλέως
χοὰς θανόντι πατρί. σὴ μαίνει δέ μοι
σιγὴν Αχαιῶν παντὶ κηρύξαι στρατῷ.
κἀγὼ παραστὰς, εἶπον ἐν μέσοις τάδε.
σιγᾶτ' Αχαιοί. σῖγα πᾶς ἔστω λεώς.
σίγα. σιώπα. νήνεμον δ' ἔστησ' ὄχλον.
ὅδ' εἶπεν. ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμὸς,
δέξαι χοὰς μου τάσδε κηλητηρίους

νεκρῶν

νεκρῶν ἀγωγούς. ἐλθέ δ' ὡς πίῃς μέλαν
κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα,
στρατός τε, κἀγώ, πρευμενὴς δ' ἡμῖν γενοῦ.
λῦσαί τε πρύμνας, καὶ χαλινωτήρια
νεῶν δὸς ἡμῖν πρευμενοῦς τ' ἀπ' Ἰλίου
νόστου τυχόντας, πάντας εἰς πάτραν μολεῖν
τοσαῦτ' ἔλεξε. πᾶς δ' ἐπηύξατο στρατός.
εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν,
ἐξεῖλκε κολεοῦ. λογάσι δ' Αργείων στρατοῦ
νεανίαις ἔνευσε παρθένον λαβεῖν.
ἥδ' ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον.
ὦ τὴν ἐμὴν πέρσαντες Αργεῖοι πόλιν
ἑκοῦσα θνήσκω. μή τις ἅψητ' χροὸς
τοὐμοῦ. παρέξω γὰρ δέρην εὐκαρδίως
ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
πρὸς θεῶν μεθέντες, κτείνατ'. Ἐν νεκροῖσι γὰρ
Δούλη κεκλῆσθαι Βασιλὶς οὖσ', αἰσχύνομαι
λαοὶ δ' ἐπερρόθησαν. Αγαμέμνων τ' ἄναξ
εἶπε μεθεῖναι πάρθενον νεανίαις.
οἱ δ' ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
μεθῆκαν, οὗπρ' ἐς μέγιστον ἦν κράτος.
κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος,
ἔρρηξε λαγόνος εἰς μέσον παρ' ὀμφαλὸν
μαστοὺς τ' ἔδειξε, στέρνα θ' ὡς ἀγάλματος
κάλλιστα. καὶ καθεῖσα πρὸς γαῖαν γόνυ,
ἔλεξε πάντων τλημονέστατον λόγον.
Ἰδοὺ τόδ'. εἰ μὲν στέρνον ὦ νεανία
παίειν προθυμῇ, παῖσον. εἰ δ' ὑπ' αὐχένα
χρήζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε.

ὅδ' οὐ θέλων τε καὶ θέλων οἴκτῳ κόρης,
τέμνει σιδήρῳ πνεύματος διαῤῥοάς,
κρουνοὶ δ' ἐχώρουν. ἡδὲ, καὶ θνήσκουσ', ὅμως
πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
κρύπτεινθ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
οὐδεὶς τὸν αὐτὸν εἶχεν Αργείων πόνον
ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
φύλλοις ἔβαλλον. οἱ δὲ, πληροῦσι πυρὰν
κορμοὺς φέροντες πευκίνους. ὁδ' οὐ φέρων,
πῶς τοῦ φέροντος τοιάδ' ἤκουε κακά.
ἔστηκας ὦ κάκιστε, τῇ νεανίδι
οὐ πέπλον οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
οὐκ εἶ, τι δώσων τῇ περίσσ' εὐκαρδίῳ,
ψυχήντ' ἀρίστῃ; τοιάδ' ἀμφὶ σῆς λέγον
παιδὸς θανούσης. εὐτεκνοτάτην δέ σε
πασῶν γυναικῶν, δυστυχεστάτην ὁρῶ.
χο δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσε,
πόλει τε τῇ μῇ. θεῶν ἀναγκαῖον τόδε
ἑκά ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅ, τι βλέψω κακῶν
πολλῶν παρόντων. ἢν γὰρ ἅψωμαι τινός,
τόδ' οὐκ ἐᾷ με. παρακαλεῖ δ' ἐκεῖθεν αὖ
λύπη τις ἄλλη διάδοχος κακῶν κακοῖς.
καὶ νῦν τὸ μὲν σὸν ὥστε μὴ στένειν πάθος,
οὐκ ἂν δυναίμην ἐξαλείψασθαι φρενός,
τὸ δ' αὖ λίαν παρεῖλες, ἀγγελθεῖσά μοι
» γενναῖος. Οὔκουν δεινὸν, εἰ γῆ μὲν κακὴ
» Τυχοῦσα καιροῦ θεόθεν, εὔσταχυν φέρει,
» Χρηστὴ δ' ἁμαρτοῦσ', ὧν χρεὼν αὐτὴν τυχεῖ,
» Κακὸν δίδωσι καρπὸν; ἀνθρώποις δ' ἀεὶ,

ὁ μὲν

» ὁ μὲν πονηρὸς, οὐδὲν ἄλλο, πλὴν κακός.
» ὁ δ' ἐσθλὸς. οὐδὲ συμφορᾶς ὕπο,
» φύσιν διέφθειρ', ἀλλὰ χρηστός ἐστ' ἀεί.
» ἆρ' οἱ τεκόντες διαφέρουσιν, ἢ τροφαί;
» ἔχει γέτοι τι καὶ τὸ θρεφθῆναι καλῶς,
» δίδαξιν ἐσθλοῦ. τοῦτο δ' ἦν τις εὖ μάθοι,
» οἶδε τόγ' αἰσχρὸν κανόνι τοῦ καλοῦ μαθών.
καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσεν μάτην.
σύ δ' ἐλθὲ καὶ σήμηνον Αργείοις τάδε,
μὴ θιγγάνειν μου μηδὲν, ἀλλ' εἴργειν ὄχλον
» τῆς παιδός. Ἐν γὰρ μυρίῳ στρατεύματι
» Ἀκόλαστος ὄχλος, ναυτικήτ' ἀναρχία,
» Κρείσσων πυρός. κακὸς δ' ὁ μή τι δρῶν κακόν,
συδ' αὖ λαβοῦσα τεῦχος ἀρχαία λάτρι,
βάψασ', ἔνεγκε δεῦρο ποντίας ἁλὸς,
ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμὴν,
νύμφην τ' ἄνυμφον, παρθένον τ' ἀπάρθενον
λούσω. προθῶμαί θ', ὡς μὲν ἀξίαν, πόθεν;
οὐκ ἂν δυναίμην. ὡς δ' ἔχω. τί γὰρ πάθω;
κόσμον τ' ἀγείρασ' αἰχμαλωτίδων πάρα,
αἵ μοι πάρεδροι τῶνδ' ἔσω σκηνωμάτων
ναίουσιν εἴ τις τοὺς νεωστὶ δεσπότας
λαθοῦσ', ἔχει τι κλέμμα τῶν αὑτῆς δόμων.
ὦ σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι,
ὦ πλεῖστ' ἔχων; κάλλιστά τ' εὐτεκνότατε
Πρίαμε, γεραιά θ' ἡδ' ἐγὼ μήτηρ τέκνων,
ὡς εἰς τὸ μηδὲν ἥκομεν, φρονήματος
τοῦ πρὶν στερέντες. εἶτα δῆτ' ὀγκούμεθα;
ὁμὲν τις ἡμῶν, πλουσίοις ἐν δώμασιν,
ὅδ' ἐν πολίταις τί μιος κεκλημένος.

 τάδ' οὐ

" τάδ' οὐδέν. Αλλως φροντίδων βουλεύματα,
" Γλώσσης τε κόμποι. Κεῖνος δ' ὀλβιώτατος,
" Οτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.
χο ἐμοὶ χρῆν συμφορὰν,
ἐμοὶ χρῆν πημονὰν γενέσθαι.
Ιδαίαν ὅτε πρῶτον ὕλαν
Αλέξανδρος εἰλατίναν
ἐτάμεθ', ἅλιον ἐπ' οἶδ' μαναυστολήσων
Ελένας ἐπὶ λέκτρα. τὰν, καλ
λίσταν ὁ χρυσοφαὴς
ἅλιος αὐγάζει. πόνοι γε, καὶ πόνων
ἀνάγκαι κρείσσονες κυκλοῦντες.
κοινὸν δ' ἐξ ἰδίας ἀνόιας
κακὸν τᾷ Σι μουντίδι γᾷ
ὀλέθριον ἔμολε, συμφορά τ' ἄπ' ἄλλων.
ἐκρίθη δ' ἔρις, ἅν ἐν Ιδᾳ
κρίνει τρισσὰς μακάρων
παῖδας ἀνὴρ βούτας
ἐπὶ δορί, καὶ φόνῳ, καὶ ἐμῶν
μελάθρων λώβᾳ.
στένει δὲ καί τις ἀμφὶ τὸν
εὔῤῥουν Εὐρώταν
λάκαινα πολυδάκρυτος ἐν δόμοις κόρα.
πολιόν τ' ἐπὶ κρᾶτα μήτηρ,
τέκνων θανόντων, τίθετε
χέρα. δρύπτε ταί τε παρειάν,
δίαιμον ὄνυχα τίθε μέλα σπαραγμοῖς.
θερά γυναῖκες, Εκάβη ποῦ ποθ' ἡ παναθλία,
ἡ πάντα νικῶ σ' ἄνδρα, καὶ θῆλυν σπορὰν
κακοῖσιν; οὐδεὶς στέφανον ἀνθαιρήσει)

τί δ'

χο τί δ' ὦ τάλαινα σῆς κακογλώσσου βοῆς,
ὡς ὄποτ' εὕδει λυπρά σου κηρύγματα;
θερά Εκάβη φέρω τόδ' ἄλγος. Εν κακοῖσι ;
" Οὐ ῥᾴδιον βροτοῖσιν εὐφημεῖν στόμα
χο καὶ μὴν περῶσα τυγχάνει δόμων ἄπο
ἥδ'. εἰς δὲ καιρὸν σοῖσι φαίνετε λόγοις.
θερά ὦ παντάλαινα, κᾄτι μᾶλλον ἢ λέγω
δέσποιν', ὄλωλας. κοὐκέτ' εἶ βλέπουσα φῶς.
ἄπαις, ἄνανδρος. ἄπολις ἐξεφθαρμένη.
ἑκά οὐ καινὸν εἶπας. εἰδόσι δ' ὠνείδισας.
ἀτὰρ τί. νεκρὸν τόνδε μοι Πολυξένης
ἥκεις κομίζουσ', ἧς ἀπηγγέλθη τάφος
πάντων Αχαιῶν διὰ χερὸς σπουδὴν ἔχειν;
θερά ἥδ' οὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
θρηνεῖ νέων δὲ πημάτων οὐχ ἅπτετε.
ἑκά οἴ ἐγὼ τάλαινα. μῶν τὸ Βακχεῖον κάρα
τῆς θεσπιωδοῦ δεῦρο Κασάνδρας φέρεις;
θερά ζῶσαν λέλακας, τὸν θανόντα δ' οὐ στένεις
τόνδ'. ἀλλ' ἄθρησον σῶμα γυμνωθὲν νεκροῦ,
εἴ σοι φανεῖτε θαῦμα, καὶ παρ' ἐλπίδας.
ἑκά οἴ μοι. Βλέπω δὴ παῖ δ' ἐμὸν τεθνηκότα.
Πολύδωρον, ὅν μοι θρὴξ ἔσωζ' οἴκοις ἀνήρ.
ἀπωλόμην δύστηνος οὐκέτ' εἰ μὶ δή.
ὦ τέκνον, τέκνον, αἶ, αἶ, κατάρχομαι νόμων
Βακχείων ἐξ ἀλάστορος
ἄρτι μαθὴς κακῶν
θερά ἔγνως γὰρ ἄτην παιδὸς ὦ δύστανε σύ;
ἑκά ἄπιστ' ἄπιστα, καινὰ καινὰ δέρκομαι
ἕτερα δ' ἀφ' ἑτέρων κακὰ κακῶν κυρεῖ.
οὐδέποτ' ἀδάκρυτος, ἀστένακτος

ἁμέρα μ' ἐπισχήσει.
χο. στεῖν' ὦ τάλαινα, στεινὰ πάσχομεν κακά.
ἑκά. ὦ τέκνον τέκνον ταλαίνας
ματρός, τίνι μόρῳ θνήσκεις;
τίνι πότμῳ κεῖσαι;
πῶς τίν' ἀνθρώπων;
θερά. ὀκ οἶσθ'. ἐπ' ἀκταῖς νιν κυρῶ βαλασσίαις
ἑκά. ἔκβλητον, ἢ πέσκ μαφονὶς δορός;
θερά. ὧν ψαμάθῳ λδυρᾷ
πόντ' ἀνιν ἐξήνεγκε πελάγιος κλύδων.
ἑκά. ὤμοι. αἰ. αἰ,
ἔ μαθον ὠύπνιον, ὀμμάτων τ' ἐμῶν
ὄψιν. ὅ με παρέβα φάσμα
μελανόπτερον. ἆρ' ἐσεῖδν
ἀμφί σ' ὦ τέκνον δηὲ
τ' ὄντα Διὸς ὧν φάει.
χο. τίς γάρ νιν ἔκτανε, οἷδ' ὀνειρόφρον φράσαι;
ἑκά. ἐμὸς ξεν⊙ θρηϊκιος ἱππότας,
ἵν' ὀγέρων πατὴρ ἔθετόνιν κρύψας.
χο. ὤμοι. τί λέξεις; χρυσὸν ὡς ἔχοι κτανών;
ἑκά. ἄρρκτ', ἀνωνόμαστα, θαυμάτων πέρα,
ὀχ ὁσιά τ' ὄσθ' ἀνεκτά. πῶ δίκα ξένων;
ἰὼ κατάρατ' ἀνδρῶν, ὡς δεμοιράσω
χρόα, σιδαρέῳ τε μὼν φασγάνῳ
μέλεα τῶνδε παιδὸς, ὀδὶ ὠκτίσω.
χο. ὦ τλῆμον, ὡς σε πολυπονωτάτην βροτῶν
δάϊ μων ἔθηκεν, ὅστις ἐστί σοι βαρύς,
ἀλλ' εἰσορῶ γὰρ τῶνδε δεσπότην δέ μας
Αγαμέμνον⊙. τὸνθένδε σιγῶμεν φίλαι.
ἀγα. Ἑκάβη, τί μέλλεις παῖδα σὴν κρύπτειν τάφῳ
ἐλθοῦσ',

ἐφ' οἷς περ Ταλθύβι⊙ ἤγγειλέ μοι
μὴ θιγγάνειν σῆς μηδὲν' Ἀργείων κόρης;
ἢ μεῖς μὲν ὄρ ἐῶ μὲν, ὃ δ' ψαύομεν.
σὺ δὲ χολάζεις, ὥστε θαυμάζειν ἐμέ.
ἥκω δ' ἀρξελῶν σε. τἀκεῖθεν γὰρ εὖ
πεπραγμέν' ἐστίν, εἴ τι τῶνδ' ἐστὶ καλῶς.
ἑα. τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
θανόντα Τρώων; ὡς γὰρ Ἀργείων πέπλοι
δέ μας περιπτύσσοντες, ἀγγέλλουσί μοι.
ἑκά. δύσκν', ἐ μαυτὴν γὰρ λέγω λέγουσά σε
Ἑκάβη. τί δράσω; ποτέρα προσαντέσω γόνυ
Αγαμέμνον⊙ τοῦδ', ἢ φέρω σιγῇ κακά;
ἄγα. τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν,
ὀδύρῃ, κοὐ πρὸς χθέν δέ' ἀνδρὸς τῆς ἐδ' ὄδε;
ἑκά. ἀλλ' εἴ με δίδλην, πολεμίαν θ' ἡγεμόν⊙.
γονάτων ἀπώσαιτ', ἄλγ⊙ ἂν προδείμεθα.
ἄγα. ὅτοι πέφυκα μάντις, ὥστε μὴ κλύων,
ἐξισορῆσαί σῶν ὁδὸν βαδυμάτων.
ἑκά. ἆρ' ἐκλογίζομαί γε πῶς τὸ δυσμενὲς
μᾶλλον φρονᾷς, τὸδ' ὄντ⊙ οὐχὶ δυσμενῆς;
ἄγα. εἴ τοι με βούλει τῶνδε μηδὲν εἰδέναι,
εἰς ταυτὸν ἥκεις. ἡγοῦ νυν' ὅτι ἐγὼ κλύειν.
ἑκά. οὐκ ἂν δυναίμην τῆδε τιμωρεῖν ἄτερ
τέκνοισι τοῖς ἐμοῖσι. τί χρῄζω τάδε;
" Τολμᾷς ἀνάγκη, κἂν τύχω, κἂν μὴ τύχω.
Αγάμεμνον, ὑκετεύω σε τῶνδε γονάτων
καὶ σε γενείου, δεξιᾶς τ' ἀδελφείου⊙.
ἄγα. τί χρῆμα μαστεύουσα; μῶν ἐλεύθερον
αἰῶνα θεραπείαν γ' ἔτι σοι,
ἑκά. ὀλίγα. τὰς κακὰς γ' ἡμῶν μίαν,

» Αἰῶνα τὸν σύμπαντα δουλεῦσαι θέλω.
ἄγα καὶ δὴ τίν' ἡμᾶς εἰς ἐπάρκειαν καλεῖς;
ἑκά οὐδέν τι τούτων, ὧν σὺ δοξάζεις ἄναξ.
ὁρᾷς νεκρὸν τόνδ', ὃν καταστάζω δάκρυ;
ἄγα ὁρῶ. τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν
ἑκά τοῦτόν ποτ' ἔτεκον, κἄφερον ζώνης ὕπο.
ἄγα ἔστι δὲ τίς σῶν οὗτος ὦ τλῆμον τέκνων;
ἑκά οὐ τῶν θανόντων Πριαμιδῶν ὑπ' Ἰλίῳ
ἄγα ἦ γάρ τιν' ἄλλον ἔτεκες ἢ κείνους γύναι;
ἑκά ἀνόνητά γ' ὡς ἔοικε τόνδ', ὃν εἰσορᾷς.
ἄγα ποῦ δ' ὢν ἐτυγχαν' ἡνίκ' ὤλλυτο πτόλις;
ἑκά πατήρ νιν ἐξέπεμψεν ὀρρωδῶν θανεῖν.
ἄγα ποῖ, τῶν τό τ' ὄντων χωρίσας τέκνων μόνον
ἑκά εἰς τήνδε χώραν, οὗπερ εὑρέθη θανών
ἄγα πῶς ἄνδρ', ὃς ἄρχει τῆσδε Πολυμήστορα χθονός;
ἑκά ἐνταῦθ' ἐπέμφθη πικροτάτου χρυσοῦ φύλαξ.
ἄγα θνήσκει δὲ πῶς τοῦ, καὶ τίνος πότμου τυχών;
ἑκά τίνος γ' ὑπ' ἄλλου; θρήξ νιν ὤλεσε ξένος.
ἄγα ὦ τλῆμον, ἦπου χρυσὸν ἢ ῥάσθη λαβεῖν;
ἑκά τοι αὖτ', ἐπειδὴ συμφορὰν ἔγνω Φρυγῶν.
ἄγα εὗρες δὲ ποῦ νιν; ἢ τίς ἤνεγκε νεκρόν;
ἑκά ἣ δ' ἐντυχοῦσα ποντίας ἀκτῆς ἔπι.
ἄγα τοῦτον μαστεύουσ' ἢ πονοῦσ' ἄλλον πόνον;
ἑκά λούτρ' ᾤχετ' οἴσουσ' ἐξ ἁλὸς Πολυξένη.
ἄγα κτανών νιν ὡς ἔοικεν ἐκβάλλει ξένος.
ἑκά θαλασσόπλαγκτόν γ' ὧδε διατεμὼν χρόα.
ἄγα ὦ σχετλία σὺ τῶν ἀμετρήτων πόνων.
ἑκά ὄλωλα, κοὐδὲν λοιπὸν Αγάμεμνον κακῶν.
ἄγα φεῦ. φεῦ. τίς οὕτω δυστυχὴς ἔφυ γυνή;
ἑκά οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγοις.

ἀλλ'

ἀλλ' ὧνπερ οὕνεκ' ἀμφὶ σὸν πίπτω γόνυ
ἄκουσόν. εἰ μὲν ὁσιά σοι παθεῖν δοκῶ,
στέργοι μ' ἄν. εἰ δὲ τοὔμπαλιν, σύ μοι γενοῦ
τιμωρὸς ἀνδρὸς ἀνσιωτάτου ξένου.
ὃς οὔτε τοὺς γῆς νέρθεν, οὔτε τοὺς ἄνω
δείσας, δέδρακεν ἔργον ἀνοσιώτατον,
κοινῆς τραπέζης πολλάκις τυχὺν ἐμοί,
ζενίας τ' ἀριθμῷ, πρῶτα τῶν ἐμῶν φίλων.
τυχὼν δ' ὅσων δεῖ, καὶ λαβὼν προμηθίαν,
ἔκτεινε. τύμβου δ' εἰ κτανεῖν ἐβούλετο,
οὐκ ἠξίωσεν, ἀλλ' ἀφῆκε πόντιον.
ἡ μεῖς μὲν οὖν δοῦλοί τε κἀσθενεῖς ἴσως.
ἀλλ' οἱ θεοὶ σθένουσι, χ' ᾧ κείνων κρατῶν
» νόμος. Νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα,
» Καὶ ζῶμεν ἄδικα, καὶ δίκαι' ὡρισμένοι.
ὃς εἴς σ' ἀνελθὼν εἰ διαφθαρήσεται,
καὶ μὴ δίκην δώσουσιν, οἵτινες ξένους
κτείνουσιν, ἢ θεῶν ἱερὰ τολμῶσι φέρειν,
» Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
ταῦτ' οὖν ἐν αἰσχρῷ θέμενος, αἰδέσθητί με.
οἰκτείρου ἡμᾶς. ὡς γραφεύς τ' ἀρσταθεὶς,
ἴδου με, κἀνάθρησον οἷ' ἔχω κακά.
τύραννος ἦν ποτ' ἀλλὰ νῦν δούλη σέθεν.
εὔπαις πότ' οὖσα, νῦν δὲ γραῦς, ἄπαις θ' ἅμα,
ἄπολις, ἔρημος, ἀθλιωτάτη βροτῶν.
οἴ μοι τάλαινα, ποῖ μ' ὑπεξάγεις πόδα;
ἔοικα πράξειν οὐδέν. ὦ τάλαιν' ἐγώ.
» Τί δῆτα θνητοὶ τἆλλα μὲν μαθήματα
» Μοχθοῦ μὲν ὡς χρὴ πάντα, καὶ μαστεύομεν,
» Πειθὼ δὲ τὴν τύραννον ἀνθρώποις μόνην,

οὐ

» Οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν,
» Μισθοὺς διδόντες μανθάνειν, ἵν' ᾖ ποτε.
» Γείθειν ἅ τις βούλοιτο, τυγχάνειν θ' ἅμα;
πῶς οὖν ἔτ' ἄντις ἐλπίσαι πράξειν καλῶς;
οἱ μὲν τοσοῦτοι παῖδες, οὐκέτ' εἰσί μοι.
αὐτὴ δ' ἐπ' αἰσχροῖς αἰχμάλωτος οἴχομαι
καπνὸν δὲ πόλεως τόνδ' ὑπερθρώσκονθ' ὁρῶ
καὶ μὴν ἴσως μὲν τοῦ λόγου κενὸν τόδε,
Κύπριν προβάλλειν. ἀλλ' ὅμως εἰρήσετε.
πρὸς σῇσι πλευρῇς παῖς ἐμὴ κοιμίζετε
ἡ φοιβὰς, ἣν καλοῦσι Κασάνδραν φρύγες.
ποῦ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις ἄναξ
ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων
χάριν τίν' ἕξει παῖς ἐμὴ, κείνης δ' ἐγώ;
» Ἐκ τοῦ σκότους γὰρ, νυκτέρων τ' ἀσπασμάτων
» Φίλτρων ὁ μοῦ τε, τοῖς βροτοῖς πολλὴ χάρις.
ἄκουε δὴ νῦν. τὸν θανόντα τόνδ' ὁρᾷς;
τοῦτον καλῶς δρῶν ὄντα κηδεστὴν σέθεν,
δράσεις. ἑνός μοι μῦθος ἐνδεὴς ἔτι.
εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι,
καὶ χερσὶ, καὶ κόμαισι, καὶ ποδῶν βάσει,
ἢ δαιδάλου τέχναισιν, ἢ θεῶν τινος,
ὡς πάνθ' ὁμαρτῇ σῶν ἔχοιτο γουνάτων,
κλαίοντ', ἐπισκήπτοντα παντοίους λόγους.
ὦ δέσποτ', ὦ μέγιστον Ἕλλησι φάος,
πιθοῦ. πάρασχε χεῖρα τῇ πρεσβύτιδι
τι μωρόν, εἰ καὶ μηδέν ἐστιν, ἀλλ' ὅμως.
» Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν,
» Καὶ τοὺς κακοὺς δρᾷν πανταχοῦ κακῶς ἀεί.
χο δεινόνγε θνητοῖς, ὡς ἅπαντα συμπιτνεῖ.

Καὶ τὰς

» Καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν,
» Φίλους τιθέντες τούσγε πολεμιωτάτους,
» Ἐχθρούς τε τοὺς πρὶν εὖ μενεῖς ποιούμενοι.
ἀγα ἐγώ σε, καὶ σὸν παῖδα, καὶ τύχας σέθεν
Ἑκάβη δι' οἴκτου, χεῖρά θ' ἱκεσίαν ἔχω,
καὶ βούλομαι θεῶν δ' οὕνεκ' ἀνόσιον ξένον.
καὶ τοῦ δικαίου, τήνδε σοὶ δοῦναι δίκην.
εἴ πως φανείηνγ' ὥστε σοι καλῶς ἔχειν,
στρατῷ τε μὴ δόξαιμι Κασάνδρας χάριν,
Θρῄκης ἄνακτι τόνδε βουλεῦσαι φόνον.
ἔστι γὰρ ᾗ ταραγμὸς ἐμπέπτωκέ μοι.
τὸν ἄνδρα τοῦτον φίλον ἡγεῖτε στρατὸς,
τὸν κατθανόντα δ' ἐχθρὸν εἰ δέ σοι φίλος
ὅδ' ἐστὶ, χωρὶς τοῦτο, κοὐ κοινὸν στρατῷ.
πρὸς ταῦτα φρόντιζ', ὡς θέλοντα μὲν μ' ἔχεις
σοὶ ξυμπονῆσαι, καὶ ταχὺν προσαρκέσαι.
βραδὺν δ', Ἀχαιοῖς εἰ δεβληθήσομαι
ἑκά φεῦ, οὐκ ἔστι θνητῶν. ὅστις ἐστ' ἐλεύθερος.
» Ἡ χρημάτων γὰρ δοῦλός ἐστιν, ἢ τύχης,
» Ἡ πλῆθος αὐτὸν πόλεος. ἢ νόμων γραφαὶ
» Εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις. κατα
ἐπεὶ δὲ ταρβεῖς, τῷ τ' ὄχλῳ πλέον νέμεις,
ἐγώ σε θήσω τοῦδ' ἐλεύθερον φόβου.
σύνισθι μὲν γὰρ ἤν τι βουλεύσω κακὸν
τῷ τόνδ' ἀσκτείναντι. συνδράσης δὲ μή.
ἢν δ' ἐξ Ἀχαιῶν θόρυβος, ἢ πικρία,
πάσχοντος ἀνδρὸς θρῃκὸς οἷα πείσετε
φανῇ τις, εἶργε, μὴ δοκῶν ἐμὴν χάριν.
τὰ δ' ἄλλα θάρσει, πάντ' ἐγὼ θήσω καλῶς.
ἀγα πῶς οὖν; τί δράσεις; πότερα φάσγανον χερὶ

λαβοῦσα

λαβοῦσα γραῖα, φῶτα βάρον κτενεῖς,
ἢ φαρμάκοισιν, ἢ πικουρίᾳ τινί;
τίς σοι ξυνέσται χείρ; πόθεν κτήσῃ φίλους;
ἑκά στέγαι κεκεύθασ' αἵδε Τρῳάδων ὄχλον
ἀγα τὰς αἰχμαλώτους εἶπας, Ἑλλάνων ἄγραν;
ἑκά σὺν ταῖσδε τὸν ἐμὸν φονέα τι μωρήσομαι.
ἀγα καὶ πῶς γυναιξὶν ἀρσένων ἔσται κράτος;
ἑκά Δεινὸν τὸ πλῆθος, ξὺν δόλῳ τε δύσμαχον.
ἀγα δεινόν, τὸ μέντοι θῆλυ μέμφομαι γένος
ἑκά τί δ', οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα
καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξώκισαν;
ἀλλ' ὡς γενέσθαι, τόνδ' ἐμοὶ μέθες λόγον.
πέμψον δέ μοι τήνδ' ἀσφαλῶς διὰ στρατοῦ
γυναῖκα. Ὦ σὺ θρῃκὶ πλασθεῖσα ξένῳ,
λέξον· καλεῖ σ' ἄνασσα δή ποτ' Ἰλίου
Ἑκάβη, σὸν δ' οὐκ ἔλασσον ἢ κείνης χρέος,
Ὦ παῖδες. ὡς δεῖ καὶ τέκν' εἰδέναι λόγους
τοὺς ἐξ ἐκείνης. τὸν δὲ τῆς νεοσφαγοῦς
Πολυξένης ἐπίσχες Ἀγάμεμνον τάφον,
ὡς τώδ' ἀδελφὼ πλησίον μιᾷ φλογὶ
δισσῇ μερίμνᾳ μητρὶ κρυφθῆτον χθονί.
ἀγα ἔσται τάδ' οὕτω. καὶ γὰρ εἰ μὲν ἦν στρατῷ
πλοῦς, οὐκ ἂν εἶχον τήνδε σοι δοῦναι χάριν.
νῦνδ', οὐ γὰρ ἵησ' οὐρίας πνοὰς θεός,
μένειν ἀνάγκη πλοῦν ὁρῶντας ἥσυχον.
» γένοιτο δ' εὖ πως. Πᾶσι γὰρ κοινὸν τόδε,
» Ἰδίᾳ θ' ἑκάστῳ, καὶ πόλει, τὸν μὲν κακόν,
» Κακόν τι πάσχειν. τὸν δὲ χρηστὸν, εὖ τυχεῖν.
χο σὺ μὲν ὦ πατρὶς Ἰλιὰς,
τῶν ἀπορθήτων πόλις οὐκέτι λέξῃ.

τοιόνδ'

τοιόνδ' Ἑλλάνων νέφος ἀμφίσε καλύπτει,
δορὶ δὴ δορὶ πέρσαν.
ἀπὸ δὲ στεφάναν κέκαρσαι
πύργων. κατὰ δ' αἰθάλου
καπνοῦ, κηλίδ' οἰκτροτάτᾳ κέχρωσαι
τάλαιν', οὐκέτι σ' ἐμβατεύσω.
μεσονύκτιος ὠλλύμαν,
ἦ μος ἐκ δείπνων ὕπνος ἡδὺς
ἐπ' ὄσσοις κίδνατο.
μολπᾶν δ' ἄπο, καὶ χαροποιῶν
θυσιῶν καταπαύσας
πόσις, ἐν θαλάμοις ἔκειτο·
ξυστὸν δ' ἐπὶ πασσάλῳ,
ναύταν οὐκέθ' ὁρῶν ὅμιλον
Τρόιαν ἰλιάδ' ἐμβεβαῶτα.
ἐγὼ δὲ πλόκαμον ἀναδέτοις
μίτραισιν ἐρρυθμιζόμαν,
χρυσέων ἐνόπτρων
λεύσσουσ' ἀτέρμονας εἰς αὐγὰς,
ἐπιδέμνιος ὡς πέσοι μ' ἐς εὐνάν.
ἀνὰ δὲ κέλαδος ἔμολε πόλιν.
κέλευσμα δ' ἦν κατ' ἄστυ Τρόιας
τόδ'. ὦ παῖδες Ἑλλάνων, πότε δὴ
πότε τὰν Ἰλιάδος σκοπιὰν
πέρσαντες, ἥξετ' ἐς οἴκους;
λέχη δὲ φίλα μονόπεπλος
λιποῦσα δωρὶς ὡς κόρα.
σεμνὰν προσίζουσ',
οὐκ ἤνυσ' Ἄρτεμιν ἃ τλάμων.
ἄγομαι δὲ θανόντ' ἰδοῦσ' ἀκοίταν

τὸν ἐ

τὸν ἐμὸν ἅλιον ἐπὶ πέλαγος,
πόλιν τ' ἄπο σκοπῦσ', ἐπεὶ
νόστιμον ναῦς ἐκίνησε πόδα,
καὶ μ' ἀὲρ γᾶς ὥρισεν Ιλιάδος.
τάλαιν', ἀπεῖπον ἄλγει,
τὰν τοῖς Λιοσκούροιν Ελέναν κάσιν,
ἰδαιόν τε βούταν
Αἰνόπαριν κατάρᾳ διδοῦσ', ἐπεί με
γᾶς ἐκ πατρῴας ἀπώλεσεν,
ἐξῴκισέ τ' οἴκων γάμος, οὐ γάμος,
ἀλλ' ἀλάστορός τις οἰζύς.
ἅν, μήτε πέλαγος ἅλιον ἀπαγάγοι πάλιν,
μήτε πατρῷον ἵκοιτ' ἐς οἶκον,
πο ὦ φίλτατ' ἀνδρῶν Γρίαμε, φιλτάτη δὲ σὺ
Εκάβη, δακρύω σ' εἰσορῶν, πόλιν τε σὴν,
τήν τ' ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.
» Φεῦ. οὐκ ἔστιν οὐδὲν πιστόν, οὔτ' εὐδοξία,
» Οὔτ' αὖ καλῶς πράσσοντα, μὴ πράξειν κακῶς.
» Φύρουσι δ' αὖθ' οἱ θεοὶ πάλιν τε κὴ πρόσω,
» Ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίᾳ
» Σέβω μὲν αὐτούς, ἀλλὰ ταῦτα μὲν τί δεῖ
θρηνεῖν, προκόπτοντ' οὐδὲν εἰς πρόσθεν κακῶν;
σύ δ' εἴ τι μέμφῃ τῆς ἐμῆς ἀπουσίας,
σχές. τυγχάνω γὰρ ἐν μέσοις Θρῄκης ὅροις
ἀπὼν, ὅτ' ἦλθες δεῦρ'. ἐπεὶ γ' ἀφικόμην
ἤδη πόδ' ἔξω δωμάτων αἴροντί μοι,
εἰς ταὐτὸν ἥδε συμπιτνεῖ δμωὶς σέθεν,
λέγουσα μύθους, ὧν βλύων ἀφικόμην.
ἑκά αἰσχύνομαί σε προσβλέπειν ἐναντίον
Πολυμῆστορ, ἐν τοιοῖσδε κει μένη κακοῖς;

ὅτῳ γὰρ

ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ' αἰδώς μ' ἔχει
ἐν τῷδε πότμῳ τυγχάνουσ', ἵν' εἰμὶ νῦν,
κοὐκ ἂν δυναίμην προσβλέπειν σ' ὀρθαῖς κόραις.
ἀλλ' αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν
» Πολυμῆστορ. ἄλλως δ', Αἴτιόν τι καὶ νόμος,
» Γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον
πο καὶ θαῦ μάγ' οὐδέν. ἀλλὰ τίς χρεία σ' ἐμοῦ;
τί χρῆμ' ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;
ἑκά ἴδιον ἐμαυτῆς δή τι πρὸς σὲ βούλομαι,
καὶ παῖδας εἰπεῖν σούς. ὀπάονας δέ μοι
χωρὶς κέλευσον τῶνδ' ἀρστῆναι δόμων.
πο χωρεῖτ'. ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία.
φίλη μὲν ἡμῖν εἶ σύ. προσφιλὲς δέ μοι τόδε
στράτευ μ' Αχαιῶν. ἀλλὰ σημαίνειν σε χρὴ
» Τί χρὴ τὸν εὖ πράσσοντα, μὴ πράσσουσιν εὖ
» Φίλοις ἐπαρκεῖν. ὡς ἕτοιμός εἰ μ' ἐγώ
ἑκά πρῶτον μὲν εἰπὲ, παῖδ'. ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον, ἔκ τε πατρὸς ἐν δόμοις ἔχεις,
εἰ ζῇ. τάδ' ἄλλα δεύτερόν σ' ἐρήσομαι.
πο μάλιστα τοὐκείνου μὲν εὐτυχεῖς μέρους.
ἑκά ὦ φίλταθ', ὡς εὖ κἀξίως σέθεν λέγεις.
πο τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;
ἑκά εἰ τῆς τεκούσης τῆσδε μέμνη τὴν τίμου.
πο καὶ δεῦρό γ' ὡς σὲ κρυφίως ἐζήτει μολεῖν.
ἑκά χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων;
πο σῶς ἐν δόμοισγε τοῖς ἐμοῖς φρουρούμενος.
ἑκά σῶσον νῦν αὐτὸν, μηδ' ἔρα τῶν πλησίον.
πο ἥκιστ'. ὀναίμην τοῦ παρόντος ὦ γύναι.
ἑκά οἶσθ' οὖν ἃ λέξαι σοί τε καὶ παισὶ θέλω;
πο οὐκ οἶδα, τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.

ἑκά ἔστω φιληθεὶς, ὡς σὺ νῦν ἐμοὶ φιλῇ.
πο τί χρῆμ' ὃ κἀμὲ καὶ τέκν' εἰδέναι χρεών;
ἑκά χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.
πο ταῦτ' ἔσθ' ἃ βούλει παιδὶ σημῆναι σέθεν;
ἑκά μάλιστα διὰ σοῦ γ'. εἶ γὰρ εὐσεβὴς ἀνήρ.
πο τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
ἑκά ἄμεινον, ἢν σὺ κατθάνῃς, τούσδ' εἰδέναι.
πο καλῶς ἔλεξας τῇδε, καὶ σοφώτερον.
ἑκά οἶσθ' οὖν Αθάνας ἰλιᾶς ἵνα στέγαι;
πο ἐνταῦθ' ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
ἑκά μέλαινα πέτρα, γῆς ὑπερτέλλουσ' ἄνω.
πο ἔτ' οὖν τί βούλει τῶν ἐκεῖ φράζειν ἐμοί;
ἑκά σῶσαί σε χρήμαθ', οἷς συνεξῆλθον θέλω.
πο ποῦ δῆτα; πέπλων ἐντὸς, ἢ κρύψασ' ἔχεις;
ἑκά σκύλων ἐν ὄχλῳ ταῖσδε σώζεται στέγαις.
πο ποῦ δ' αἵδ' Αχαιῶν ναύλοχοι περιπτυχαί;
ἑκά ἰδίᾳ γυναικῶν αἰχμαλωτίδων στέγαι.
πο τἄνδον ἢ πιστὰ, κἀρσένων ἐρημία;
ἑκά οὐδεὶς Αχαιῶν ἔνδον, ἀλλ' ἡμεῖς μόναι.
ἀλλ' ἕρπ' ἐς οἴκους. καὶ γὰρ Αργεῖοι νεῶν
λῦσαι ποθοῦσιν οἴκαδ' ἐκ Τροίας πόδα.
ὡς πάντα πράξας ὧν σε δεῖ, στείχῃς πάλιν
ξὺν παισὶν, οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.
χο οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην.
ἀλί μενόν τις ὡς ἐς ἄντλον ἐμπεσὼν
λέχριος, ἐκπέσῃ φίλας καρδίας,
» ἀμέρσας βίοτον. Τὸ γὰρ ὑπέγγυον
» Δίκᾳ καὶ θεοῖς οὐ ξυμπιτνεῖ
» Ολέθριον ὀλέθριον κακόν.
ψεύσει σ' ὁδοῦ τῆσδ' ἐλπὶς, ἣ σ' ἐπήγαγεν
θανάσιμον

θανάσιμον πρὸς ἀΐδαν. ἰὼ τάλας.
ἀπρλέμῳ δὲ χειρὶ λείψεις βίον
πο ᾤμοι. τυφλοῦμαι φέγγος ὀμμάτων τάλας.
ἡμι ἠκούσατ' ἀνδρὸς οἰμωγὴν φίλαι;
πο ᾤμοι μάλ' αὖθις τέκνα δυστήνου σφαγῆς
ἡμι φίλαι, πέπρακτρ καίν' ἔσω δόμων κακά.
πο ἀλλ' οὔτι με φύγητε λαιψηρῷ ποδί.
βάλλων γὰρ, οἴκων τῶνδ' ἀναῤῥήξω μυχούς.
ἡμι ἰδοὺ βαρείας χειρὸς ὁρμᾶται βέλος.
βούλεσθ' ἐπισπέσωμεν, ὡς ἀκμὴ καλεῖ
Εκάβῃ παρεῖναι, Τρῳάσιν τε συμμάχους;
ἑκά ἄρασσε. φείδου μηδὲν ἐκβάλλων πύλας.
οὐ γάρ ποτ' ὄμμα λαμπρὸν ἐνθήσεις κόραις
οὐ παῖδας ὄψει ζῶντας, οὓς ἔκτειν' ἐγώ.
ἡμι ἦ γὰρ καθεῖλες θρῆκα, καὶ κρατεῖς ξένου
δέσποινα, καὶ δέδρακας οἰάπερ λέγεις;
ἑκά ὄψει νιν αὐτίκ' ὄντα δωμάτων πάρος
τυφλὸν, τυφλῷ στείχοντα πραφόρῳ ποδί.
παίδων τε δισσῶν σώμαθ', οὓς ἔκτειν' ἐγὼ
σὺν ταῖς ἀρίσταις Τρῳάσιν. δίκην δέ μοι
δέδωκε. χωρεῖ δ' ὡς ὁρᾷς ὁδ' ἐκ δόμων.
ἀλλ' ἐκ ποδὼν ἄπειμι. κἀποστήσομαι
θυμῷ ῥέοντι θρῆκι δυσμαχωτάτῳ.
πο ᾤμοι ἐγώ. πᾷ βῶ; πᾷ στῶ; πᾷ κέλσω;
τετράποδος βάσιν θηρὸς ὀρεστέρου
τιθέμενος ἐπὶ χεῖρα κατ' ἴχνος, πόιαν
ἢ τάνταν, ἢ τήνδ' ἐξαλλάξω,
τὰς ἀνδροφόνους μάρψαι χρῄζων
Ιλιάδας, αἵ με διώλεσαν,
τάλαιναι τάλαιναι κόραι φρυγῶν;

ἰὼ ἰὼ κατάρατοι. ποῖ καί με φυγᾷ
πτώσσουσι μυχῶν;
εἴθέ μοι ὀμμάτων αἱματόεν βλέφαρον
ἀκέσαιο ἀκέσαιο τυφλὸν ἅλιε,
φέγγος ἀπαλλάξας.
ἆ. ἆ. σίγα. σίγα. κρυπτὰν βάσιν αἰσθάνομαι
τᾶνδε γυναικᾶν.
πᾷ πόδ' ἐπαΐξας, σαρκῶν ὀστέων
τ' ἐμπλησθῶ, θοίναν ἀγρίων θηρῶν
τιθέμενος, ἀρνύμενος λώβαν,
λύμας ἀντίποιν' ἐμᾶς; ἰὼ τάλας,
ποῖ, πᾷ φέρομαι, τέκν' ἐρημαλιπὼν
βάκχαις ᾅδου διαμοιράσαι,
σφακτὰν κυσίτε φονίαν
δαῖτ' ἀνήμερον, οὐρείαν τ' ἐκβολάν;
πᾷ στῶ; πᾷ κάμψω; πᾷ βῶ;
ναῦς ὅπως ποντίοις πείσμασι
λινόκροκον φάρος στέλλων,
ἐπιτάνδ' ἐσσυθεὶς
τέκνων ἐμῶν φύλαξ,
ὀλέθριον κοίταν;
χο ὦ τλῆμον, ὥς σοι δύσφορ' εἴργασται κακά.
" Δράσαντι δ' αἰσχρὰ, δεινὰ τἀπιτίμια
" Δαίμων δέδωκεν, ὅστις ἔστί σοι βαρύς.
πο αἶ αἶ. ἰὼ θρήκης
λογχοφόρον, ἔνοπλον,
εὔιππον Αρεϊ κάτοχον γένος.
ἰὼ Αχαιοί. ἰὼ Αθῆναι.
Βοὰν βοὰν αὐτῶ. βοάν.
ἴτε. ἴτε. μόλετε πρὸς θεῶν.

κλύει

κλύει τίς, ἢ οὐδεὶς ἀρκέσει; τί μέλλετε;
γυναῖκες ὤλεσάν με.
γυναῖκες αἰχμαλώτιδες.
δεινὰ δεινὰ πεπόνθαμεν.
ὤ μοι ἐμᾶς λώβας.
ποῖ τράπωμαι; ποῖ πορευθῶ;
αἰθερ' ἀμπτάμενος οὐράνιον,
ὑψιπετὲς εἰς μέλαθρον ὠρίων
ἢ σείριος, ἔνθα πυρὸς φλογέας
ἀφίησιν ὄσσων αὐγάς;
ἢ τὸν ἐς αἴδα μελανοχρῶτα
πορθμὸν αἴξω τάλας;
χο Σύγγνωσθ' ὅτάν τις κρείσσον' ἢ φέρειν, κακά
" Γάθη, ταλαίνης ἐξαπαλλάξαι ζωῆς.
ἀγα κραυγῆς ἀκούσας ἦλθον. οὐ γὰρ ἥσυχος
πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν
ἀχὼ διδοῦσα θόρυβον. εἰ δὲ μὴ φρυγῶν
πύργους πεσόντας ἴσμεν Ελλάνων δορί,
~~πο~~ φόβον παρέσχεν οὐ μέσως ὅδε κτύπος.
πο ὦ φίλτατ', ἡσθόμην γὰρ Αγάμεμνον σέθεν
~~ἀγα~~ φωνῆς ἀκούσας. εἰσορᾷς ἃ πάσχομεν;
ἀγα ἔα. Πολυμῆστορ ὦ δύστανε, τίς σ' ἀπώλεσε;
τίς ὄμμ' ἔθηκε τυφλὸν αἱ μάξας κόρας;
παῖδάς τε τούσδ' ἔκτεινεν; ἢ μέγαν χόλον
σοὶ καὶ τέκνοισιν εἶχεν, ὅστις ἦν ἄρα.
πο Εκάβη με σὺν γυναιξὶν αἰχμαλωτίσιν
ἀπώλεσ'. οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως,
ἀγα τί φῄς; σὺ τοῦργον εἰργάσαι τόδ' ὡς λέγει;
σὺ τόλμαν Εκάβη τήνδ' ἔτλης ἀμήχανον;
πο ὤ μοι. τί λέξεις; ἢ γὰρ ἐγγύς ἐστί που;

 σήμηνον.

σήμηνον εἰπὲ πῶς δ'. ἵν' ἁρπάσας χεροῖν
διασπάσωμαι, καὶ καθαιμάξω χρόα.
ἀγα ὅτι, τί πάσχεις;
πο πῶς θεῶν σε λίσσομαι,
μέθες μ' ἐφεῖναι τῇδε μαργῶσαν χέρα
ἀγα ἴσχ'. ἐκβαλὼν δὲ καρδίας τὸ βάρβαρον,
λέγ'. ὡς ἀκούσας σοῦ τε, τῆσδέ τ' ἐν μέρει,
κρίνω δικαίως ἀνθ' ὅτου πάσχεις τάδε.
πο λέγοι μ' ἄν. Ἦν τις Πριαμιδῶν νεώτατος
Πολύδωρος Ἑκάβης παῖς. ὃν ἐκ Τροίας ἐμοὶ
πατὴρ δίδωσι Πρίαμος ἐν δόμοις τρέφειν,
ὑπόπτως ὢν δὴ Τρωϊκῆς ἁλώσεως.
τοῦτον κατέκτειν'. ἀνθ' ὅτου δ' ἔκτεινά νιν,
ἄκουσον, ὡς εὖ, καὶ σοφῇ προμηθίᾳ.
ἔδεισα μή σοι πολέμιος λειφθεὶς ὁ παῖς,
Τροίαν ἀθροίσῃ. καὶ ξυνοικίσῃ πάλιν.
γνόντες δ' Ἀχαιοὶ ζῶντα Πριαμιδῶν τινα.
φρυγῶν ἐς αἶαν αὖθις αἴροιεν στόλον.
κἄπειτα Θρῄκης πεδία τρίβοιεν τάδε,
λεηλατοῦντες. γείτοσι δ' εἴη κακὸν
Τρώων, ἐν ὥπερ νῦν ἄναξ ἐκάμνομεν.
Ἑκάβη δὲ παιδὸς γνοῦσα θανάσιμον μόρον,
δόλῳ με τοιῷδ' ἤγαγ, ὡς κεκρυμμένας
θήκας φράσουσα Πριαμιδῶν ὑπ' Ἰλίῳ
χρυσοῦ, μόνον δὲ σὺν τέκνοισι μ' εἰσάγει
δόμους, ἵν' ἄλλος μή τις εἰδείη τάδε.
ἵζω δὲ κλίνης ἐν μέσῳ κάμψας γόνυ.
πολλαὶ δὲ χεῖρες, αἱ μὲν, ἐπ' ἀριστερᾶς,
αἱ δ' ἐνθέν, ὡς δὴ παρὰ φίλῳ Τρώων κόρας
θάκων, ἔχουσαι κερκίδ' ἠδωνῆς χερός.

ἤνυν δ' ὑπ' αὐγὰς τούσδε λεύσουσαι πέπλους.
ἄλλαι δὲ κάμακα θρηϊκίαν θεώμεναι,
γυμνόν μ' ἔθηκαν δι' πτύχου στολίσματος.
ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεναι,
τέκν' ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς
γένοιντο, διαδοχαῖσιν ἀμείβουσαι χεροῖν.
κᾆτ' ἐκ γαληνῶν, πῶς δοκεῖς, προσφθεγμάτων
εὐθὺς λαβοῦσαι φάσγαν' ἐκ πέπλων ποθὲν,
κεντοῦσι παῖδας. αἱ δὲ, πολεμίων δίκην
ξυναρπάσασαι, τὰς ἐμὰς εἶχον χέρας
καὶ κῶλα παισὶ δ' ἀρκέσαι χρῄζον ἐμοῖς,
εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμὸν,
κόμης κατεῖχον. εἰ δὲ κινοίην χέρας,
πλήθει γυναικῶν οὐδὲν ἤνυον τάλας.
τὸ λοίσθιον δὲ πῆμα πήματος πλέον,
ἐξειργάσαντο δεῖν'. ἐμῶν γὰρ ὀμμάτων
πόρπας λαβοῦσαι, τὰς ταλαιπώρους κόρας
κεντοῦσιν. αἱ μάσσουσιν. εἶτ' ἀνὰ στέγας
φυγάδες ἔβησαν. ἐκ δὲ πηδήσας ἐγὼ
θὴρ ὡς, διώκω τὰς μιαιφόνους κύνας,
ἅπαντ' ἐρευνῶν τοῖχον ὡς κυνηγέτης,
βάλλων, ἀράσσων. τοιάδε σπεύδων χάριν
πέπονθα τὴν σὴν, πολέμιόν τε σὸν κτανὼν
Ἀγάμεμνον. ὡς δὲ μὴ μακρὸς τείνω λόγους,
εἴ τις γυναῖκας τῶν πρὶν εἴρηκε κακῶς,
ἢ νῦν λέγων ἔστι τις, ἢ μέλλει λέγειν,
ἅπαντα ταῦτα συντεμὼν ἐγὼ φράσω
Γένος γὰρ οὔτε πόντος, οὔτε γῆ τρέφει
Τοιόνδ'. ὁδ' ἀεὶ ξυντυχὼν, ἐπίσταται.
χρ μηδὲν θρασύνου. μὴ δὲ τοῖς σαυτοῦ κακοῖς

τὸ θῆλυ συνθεὶς, ὧδε πᾶν μέμψῃ γένος.
πολλαὶ γὰρ ἡμῶν, αἱ μὲν, εἴσ' ἐπίφθονοι,
αἵδ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.
ἑκά Αγάμεμνον ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε
» Τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον,
» ἀλλ' εἴτε χρὴς ἔδρασε, χρὴς ἔδει λέγειν.
» Εἴ τ' αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθροὺς,
» Καὶ μὴ δύνασθαι τἄδικ' εὖ λέγειν ποτέ.
» Σοφοὶ μὲν οὖν εἰσ' οἱ τάδ' ἠκριβωκότες.
» Αλλ' οὐ δύναντες δὲ τέλους εἶναι σοφοί.
» Κακῶς δ' ἀπώλοντο, κοὔ τις ἐξήλυξέ πω.
καί μοι τὸ μὲν σὸν ὧδ' ἐν φροιμίοις ἔχει.
πῶς τόνδε δ' εἶμι, καὶ λόγοις ἀμείψομαι.
πῶς φῄς Αχαιῶν πόνον ἀπαλλάσσων δι' πλοῦν,
Αγαμέμνονός θ' ἕκατι παῖδ' ἐμὸν κτανεῖν;
ἀλλ' ὦ κάκιστε, πρῶτον οὔ ποτ' ἂν φίλον
τὸ βάρβαρον γένοιτ' ἂν Ελλησι γένος,
οὔτ' ἂν δύναιτο. τίνα δὲ καὶ σπεύδων χάριν
πρόθυμος ἦσθα; πότερα κηδεύσων τινὰ,
ἢ συγγενὴς ὤν; ἢ τίν' αἰτίαν ἔχων;
ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα
πλεύσαντες αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
ὁ χρυσὸς, εἰ βουλοῖο τἀληθῆ λέγειν,
ἔκτεινε τὸν ἐμὸν παῖδα, καὶ κέρδη τὰ σά.
ἐπεὶ δίδαξον τοῦτο. πῶς ὅτ' εὐτύχει
Τροία, περιξ ἢ πύργος εἶχ' ἔτι πτολιν,
ἔζη τε Πρίαμος, Εκτορός τ' ἤνθει δόρυ,
τίδ' οὐ τότ', εἴπερ τῷδ' ἐβουλήθης χάριν
θέσθαι, τρέφων τὸν παῖδα, κἀν δόμοις ἔχων,
ἔκτεινας, ἢ ζῶντ' ἦλθες Αργείοις ἄγων;

ἀλλ'

ἀλλ' ἡνίχ' ἡμεῖς οὐκέτ' ἦμεν ἐν φάει,
καπνῷ δ' ἐσή μαιν' ἄστυ πολεμίων ὕπο,
ξένον κατέκτας σὴν μολόντ' ἐφ' ἑστίαν.
πῶς τοῖσδε νῦν ἄκουσον, ὡς φανῇ κακός.
χρῆν σ' εἴπερ ἦσθα τοῖς Αχαιοῖσι φίλος,
τὸν χρυσὸν ὃν φῄς οὐ σόν, ἀλλὰ τοῦδ' ἔχειν,
δοῦναι φέροντα, πενομένοις τε, καὶ χρόνον
πολὺν πατρῴας γῆς ἀπεξενωμένοις.
σὺ δ' οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
τολμᾷς. ἔχων δὲ καρτερεῖς ἔτ' ἐν δόμοις.
καὶ μὴν τρέφων μὲν ὥς σε παῖδ' ἐχρῆν τρέφειν,
σώσας τε τὸν ἐμὸν, εἶχες ἂν καλὸν κλέος.
» Εν τῖς κακοῖς γὰρ οἱ ἀγαθοὶ σαφέστατοι
« Φίλοι. τὰ χρηστὰ δ' αὖθ' ἕκας' ἔχει φίλους.
εἰ δ' ἐσπάνιζες χρημάτων, ὅδ' εὐτύχει,
θησαυρὸς ἄν σοι παῖς ὑπῆρχ' ὑμὸς μέγας.
νῦν δ' οὔτ' ἐκεῖνον ἄνδρ' ἔχεις σαυτῷ φίλον,
χρυσοῦ τ' ὄνησις οἴχετ'. παῖδές τε σοὶ,
αὐτός τε πράσσεις ὧδε. σοὶ δ' ἐγὼ λέγω
Αγάμεμνον, εἰ τῷδ' ἀρκέσεις, κακὸς φανῇ.
οὔτ' εὐσεβῆ γὰρ, οὔτε πιστὸν οἷς ἐχρῆν,
οὐχ ὅσιον, οὐδίκαιον εὖ δράσεις ξένον.
αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σε φήσομεν
τοιοῦτον ὄντα. δεσπότας δ' οὐ λοιδορῶ.
χο Φεῦ. φεῦ. βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα
» Χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων.
ἀγα Αχθεινὰ μέν μοι τἀλλότρια κρίνειν κακά,
» Ομως δ' ἀνάγκη. καὶ γὰρ αἰσχύνην φέρει
» Πρᾶγμ' ἐς χέρας λαβόντ' ἀπώσασθαι τόδε.
ἐμοὶ δ' ἴν' εἰδῇς, οὔτ' ἐμὴν δοκεῖς χάριν

 οὔτ' οὖν

ὅτ᾽ ὦ Ἀχαιῶν, ἄνδρ᾽ ἀριστεύσαντε ξένον.
ἀλλ᾽ ὡς ἔχεις τὴν χρυσὸν ᾧ δόμοισι σοῖς.
λέγεις δὲ σαυτῷ πρόσφορ᾽, ᾗ κακοῖσιν ὤν.
τάχ᾽ ὦ παῖ ὑμῖν ῥᾴδιον ξυνοικτονεῖν,
ἡμῖν δ᾽ ἐγ᾽ αἰσχρὸν τοῖσιν Ἕλλησι τόδε.
πῶς ὦ σε κρίνας μὴ ἀδικεῖν, φύγω ψόγον;
ἐκ ἂν δυναίμην. ἀλλ᾽ ἐπεὶ τὰ μὴ καλὰ
πράσσειν ἐτόλμας, τλῆθι κ τὰ μὴ φίλα.
πο οἵ μοι. γυναικὸς ὡς ἔοιχ᾽ ἡσσώμενος
δούλης. ὑφέξω τοῖς κακίοσι δίκην.
ἀγγε ἐκὸν δικαίως, εἴπερ εἰργάσω κακά.
πο οἵ μοι τέκνων τῶνδ᾽, ὀμμάτων τ᾽ ἐμῶν τάλας.
ἑκά ἀλγεῖς; τί δαί με παιδὸς ἐκ ἀλγεῖν δοκεῖς;
πο χαίρεις ὑβρίζσ᾽ εἰς ἐμ᾽ ὦ πανδέργε σύ;
ἑκά ἐγὼ γάρ με χαίρειν χρή σε τιμωρουμένην;
πο ἀλλ᾽ ἐ τάχ᾽ ἥνικ᾽ ἂν σε πόντια νοτὶς,
ἑκά μῶν ναυσολήσῃ γῆς ὅρους Ἑλλανίδος;
πο κρύψει μὲν ἔν πεσοῦσαν ἐκ καρχησίων.
ἑκά πῶς τὸ, βιαίων τυγχάνουσαν ἁλμάτων.
πο αὐτὴ πρὸς ἰσόν ναὸς ἀμείψῃ πρόδ.
ἑκά ὑπὸ σφερωις νώτοισιν, ἢ ποίῳ τρόπῳ;
πο κύων γενήσῃ, πύρσ᾽, ἔχουσα δέργματα.
ἑκά πῶς δ᾽ οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;
πο ὀθρεῖ μάντις εἶπε Διόνυσος τάδε.
ἑκά σοὶ δ᾽ ἐκ ἔχρησεν ὀδύν, ὤμ, ἔχειν κακῶς;
πο ὀγάρ ποτ᾽ ἂν σύμ᾽ εἶλες ὧδε σὺν δόλῳ.
ἑκά θανοῦσα δ᾽ ἢν ζῶσ᾽ ἐνθάδ᾽ ἐκπλήσω βίον;
πο θανοῦσα. τύμβῳ δ᾽ ὄνομα σὸν κεκλήσεται.
ἑκά μορφῆς ἐπωδὸν, ἢ τί, τῆς ἐμῆς ἐρεῖς;
πο κυνὸς τραλάινης σῆμα, ναυτίλοις τέκμαρ.

ὀδύν

ἑκά ὀδύν μέλειμοι, σὺ γέ μοι δύντ᾽ ὀδύνην.
πο καὶ σίνυ᾽ ἀνάγκη παῖδα Κασάνδραν θανεῖν.
ἑκά ἀπέπτυσ᾽. αὐτῷ ταῦτά σοι δίδωμι ἔχειν..
πο κτανεῖν νιν ἢ τὸ δ᾽ ἄλοχος οἰκτρὸς πικρά.
ἑκά μήπω μανείην Τυνδαρεὶς τοσόνδε παῖς.
πο καὐτόν, τε τὸν πέλεκυν ἐξήρασ᾽ ἄνω.
ἑκά ὅτος σὺ μαίνῃ. κἠ κακῶν ἐρᾷς τυχεῖν;
πο κτεῖν᾽ ὡς γ᾽ Ἀργεῖοι φονία λατρά σ᾽ ἀναμένει.
ἀγγε ὃ ἔλξετ᾽ αὐτὸν δμῶες ἐκποδὼν βίᾳ
πο ἀλγεῖς ἀκούων; .Α. δὲ ἐφίξετε σόμα;
πο ἐγκλείετ᾽. εἰρηται γάρ .Α. ὃ χρεὼν τάχ᾽
νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ ποι,
ἐπεὶ σφ᾽ ὅτῳ λίαν θρασυνόμεις;
Ἑκάβη, σύ δ᾽ ὦ τάλαινα δισσὰ συχᾶς νεκρὸς
σείχειν θάπτε. λειποτῶν δ᾽ ὑμᾶς χρεὼν
σκηνᾶς πελάζειν Τρῳάδες. καὶ γὰρ πνοὰς
πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.
εὖ δ᾽ ἐς πάτραν πλεύσαι μέν. εὖ δὲ τὰν δόμοις
ἔχοντ᾽ ἰδοίμην, τῶνδ᾽ ἀφειμένοι πόνων.
χο ἴτε πρὸς λιμένας, σκηνάς τε φίλας,
τῶν λειποσύνων πειρασόμενοι
μόχθων. στερρὰ γὰρ ἀνάγκη

ΕΥΡΙΠΙΔΟΥ ΟΡΕΣΤΗΣ.

EVRPIDIS ORESTES.

ΥΠΟΘΕΣΙΣ ΟΡΕΣΤΟΥ.

Ορέστης τὸν φόνον τοῦ πατρὸς ἐκδικησάμενος, ἀνεῖλεν Αἴγισθον, καὶ Κλυταιμνήστραν. μητροκτονῆσαι δὲ τολμήσας, παραχρῆμα τὴν δίκην ἔδωκεν ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ τοῦ πατρὸς τῆς ἀνηρημένης κατηγορήσαντος κατ' αὐτοῦ, ἔμελλον κοινὴν Αργεῖοι ψῆφον ἐκφέρεσθαι περὶ τούτου, τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα. κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας, νυκτὸς μὲν Ελένην εἰσαπέστειλε. μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθε. καὶ παρακαλούμενος ὑπὸ Ορέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ἠυλαβήθη. λεχθέντος δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπηνέχθη τὸ πλῆθος ἀκρωτείνειν Ορέστην. συνὼν δὲ τούτοις ὁ Πυλάδης ὁ φίλος αὐτοῦ, συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν Ελένην ἀκρωτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες, διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ελένην ἁρπασάντων. τὴν δὲ Ερμιόνην δείξας ὁ Απόλλων, ἔδωκεν εἰς χεῖρας αὐτοῖς. οἱ δὲ, ταύτην φονεύειν ἔμελλον. ἐπιφανεὶς δὲ Μενέλαος, καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τεκνῶν ἐστερημένον ὑπὸ αὐτῶν, ἐπεβάλετο τὰ βασίλεια πορθεῖν. οἱ δὲ, φθάσαντες, ὑφάψειν ἠπείλουν. ἐπιφανεὶς δὲ ὁ Απόλλων, Ελένην μὲν ἔφησεν εἰς θεοὺς διακομίζειν, Ορέστην δὲ Ερμιόνην ἐπέταξε λαβεῖν. Πυλάδην δὲ Ηλέκτραν συνοικῆσαι. καθαρθέντα δὲ τοῦ φόνου, Αργοὺς ἄρχειν.

ΑΛΛΩΣ

ΑΛΛΩΣ.

Ορέστης διὰ τὴν τῆς μητρὸς σφαγὴν, ἅμα καὶ ὑπὸ τῶν Ερινύων διαματούμενος, καὶ ὑπὸ τῶν Αργείων κατακριθεὶς θανάτῳ, μέλλων φονεύειν Ελένην καὶ Ερμιόνην, ἀνθ' ὧν Μενέλαος παρὼν οὐκ ἐβοήθησεν, ἐκωλύθη ὑπὸ Απολλωνος. παρ' οὐδενὶ δὲ κεῖται ἡ μυθολογία.

ΑΛΛΩΣ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος, ὑπόκειτο ἐν Αργει. ὁ δὲ χορὸς, συνέστηκεν ἐκ γυναικῶν Αργείων ἡλικιωτίδων. αἱ καὶ παραγίνονται ὑπὲρ τῆς τοῦ Ορέστου πυνθανόμεναι συμφορᾶς. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν. ἡ δὲ διασκευὴ τοῦ δράματος, ἔστι τοιαύτη. πρὸς τὰ τοῦ Αγαμεμνονος Βασίλεια, ὑπόκειτο Ορέστης κάμνων, καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου. ᾧ προσκαθέζεται πρὸς τοῖς ποσὶν Ηλέκτρα. διαπορεῖτο δὲ τί δή ποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται. οὕτω δὲ μᾶλλον ἐδόκει τοῦ ἀδελφοῦ τημελεῖν, οὕτω παρακαθεζομένη πλησιαίτερον. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς διασκευάσαι. διηγέρθη γὰρ ἂν ὁ Ορέστης ἄρτι, καὶ μόλις καταδαρθεὶς ἐγγὺς αὐτῷ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἐστὶ δὲ ὑπονοῆσαι τοῦτο, ἐξ ὧν φησιν Ηλέκτρα τῷ χορῷ, Σίγα, σίγα λεπτὸν ἴχνος ἀρβύλης. πιθανὴν δὲ εἶναι ταύτην φασὶ τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως. τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων. χείριστον δὲ τοῖς ἤθεσι. πλὴν γὰρ Πυλάδου, πάντες φαῦλοι ἦσαν.

τὰ τοῦ

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Ηλέκτρα.	Ελένη.	Πυλάδης.
Αγγελος.	Χορός,	Ερμιόνη.
Ορέστης,	Φρύξ,	Μενέλαος,
Απόλλων	Τυνδάρεως.	

Προλογίζει δὲ ἡ Ηλέκτρα, ὡς ἀδελφὴ Ορέστου ἐλεεινογοῦσα διὰ τὸν Τάνταλον

ΕΥΡΙΠΙΔΟΥ
ΟΡΕΣΤΗΣ.

Οὐκ ἔστιν ὅδε λεπτὸν οὐδ' εἰ πεῖ τις ἔπος,
οὐδὲ πάθος, οὐδὲ ξυμφορὰ θνήτων,
ἥτις οὐκ ἄρα ἔραντ' ἄχθος ἀνθρώπου φύσις.
ὁ γὰρ μακάριος, οὐκ ὀνειδίζω τύχας,
Διὸς πεφυκὼς ὡς λέγουσι Ταύταλος,
πορφῆς ὑπερτέλλοντα δεῖ μαίνων πέτρον
ἀεὶ ποτᾶται, κἀπὶ τίνει τάνδικον.
ὡς μὲν λέγουσιν, ὅτι θεοῖς ἄνθρωπος ὤν,
κοινὴς τραπέζης ἀξίω μ' ἔχων ἴσον,
ἀκόλαστον ἔσχε γλῶσσαν, ἀνθ' ἁμαρτίας νόσον.
ὅτου φυτόν Πέλοπα. τοῦδε Ἀτρεὺς ἔφυ.
ὃς σφ' ἔμματα ζείνασ', ἐπέκλωσεν θεὰ,
ἔριν θυέστῃ πόλεμον ὅντιν' οὐ λόγῳ
θεοὶ θανεῖν. τί τ' ἄξιον τὰ μὲν λέγειν
ἔδρασε δ' ὅ νιν τέκνα κτείνας Ἀτρεύς.
Ἀτρέως δὲ, τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας,
ὁ κλεινὸς, εἰ δὴ κλεινὸς Ἀγαμέμνων ἔφυ,
Μενέλεώς τε, κρύπτουσι μητρὸς Αἰρόπης ἄπο.
γαμεῖ δ' ὁ μὲν δὴ τὴν θεοῖς συγγενῆν,
Μενέλεως Ἑλένην. ὅδε, Κλυταιμνήστρας λέχος
ἐπίσημον εἰς Ἕλληνας Ἀγαμέμνονι ἄναξ.
ὧν παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς.
Χρυσόθεμις, Ἰφιγένειά τ', Ἠλέκτρατ' ἐγὼ,
ἄρσην τ', Ὀρέστης μητρὸς ἀνοσιωτάτης.

ἦ πόσιν

ἦ πόσιν ἀπείρῳ πολιβαλδὸς ὑφάσματι,
ἔκτεινεν. ὧν δ' ἕκατι, παρθένου λέγειν
δ' καλόν, ἐῶ τὸ τ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.
Φοίβη δ' ἀδικίαν μὲν τί δεῖ καταγορεῖν;
πείθει Ὀρέστην μητέρ', ὥσφ' ἐγένατο,
κτεῖναι, πῶς δ' οὐ πάντας σὺν κλέαν φέρων.
ὅμως δ' ἀπέκτειν', οὐκ ἀπειθήσας θεῷ.
κἀγὼ μετεῖχον ὅσα δ' ἡ γυνὴ φόνου,
Πυλάδης δ', ὃς ἡμῖν συγκατείργασαι πάλαι.
ἐντεῦθεν ἀγρίᾳ συντακεὶς νόσῳ, νοσεῖ
Τλήμων Ὀρέστης. ὁδὲ. πεσὼν ἐν δεμνίοις,
κεῖται. τὸ μητρὸς δ' αἷμά νιν προχλατεῖ
μανίαισιν. ὀνομάζειν γὰρ αὐδᾶσθαι θεὰς
σὺ μὲν δίκας, αἱ τόνδ' ἐξαμιλλῶνται φόβῳ.
ἔκειτο δὲ δὴ τόδε ἦμαρ, ἐξότε σφαγὰς
θανοῦσα μάτηρ, πυρὶ καθάγνισαι δέμας.
ὧν ὅτε σῖτα βρῶτ' ἔρις ἐλίξατο,
τὸ λόστρ' ἔδωκε χρωτὶ. χλανιδίων δ' ἔσω
κρυφθείς, ὅταν μὲν σῶμα κραιδᾷ νόσος,
ἔμφρων δ' ἀκούει. ποτὲ δὲ μανίων ἄπο
πηδᾷ δρομαῖος, πῶλος ὡς ἀπὸ ζυγοῦ.
ἔδοξε δὴ Ἀργεῖ τῷδε, μηθ' ἡμᾶς στέγαις
μὴ πυρὶ δίκεσθαι, μήτε προσφονεῖν τινα
μητροκτονοῦντας. κυρία δ' ἥδ' ἡμέρα,
ἐν ᾗ δικοῖσι Ψῆφον Ἀργείων πόλις,
εἰ χρὴ θανεῖν νιν λυσιμῶ πετρώματι,
ἢ φάσγανον θήξαντ', ἐπ' αὐχένα βαλεῖν.
ἐλπίδα δὲ δή τιν' ἔχομεν, ὥστε μὴ θανεῖν.
ἥκει γὰρ εἰς γῆν Μενέλεως Τροίας ἄπο.
λιμένα δὲ Ναυπλίειον ἐκπλεύσας πλάτῃ

ἀκταῖσιν ὁρμεῖ, δαρὸν ἐκ Τροίας χρόνον
ἄλαισι πλαγχθείς. τὴν δὲ δὴ πολύστονον
Ελένην, φυλάξας νύκτα μή τις εἰσιδὼν
μεθ' ἡμέραν στείχουσαν, ὧν ὑπ' Ιλίῳ
παῖδες τεθνᾶσιν, ἐς πετρῶν ἔλθῃ βολὰς,
πρὸ πέμψεν εἰς δῶμ' ἡμέτερον. ἐστὶ δ' ἔσω
κλαίουσ' ἀδελφὴν, συμφοράν τε δωμάτων.
ἔχει δὲ δή τιν' ἀλγέων παραψυχήν.
ἣν γὰρ κατ' οἴκους ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
παρθένον, ἐμῇ τε ματρὶ παρέδωκε τρέφειν,
Μενέλαος ἀγαγὼν Ερμιόνην Σπάρτης ἄπο,
ταύτῃ γέγηθε, κἀπιλήθεται κακῶν.
Βλέπω δὲ πᾶσαν εἴσοδον πότ' ὄψομαι
Μενέλαον ἥκοντ'. ὡς τάγ' ἄλλ' ἐπ' ἀσθενοῦς
ῥώμης ὀχοῦ μεθ', ἢν τι μὴ κείνου πάρα
σωθῶ μέν. Απορον χρῆμα δυστυχὼν δόμος.
ἑλέ ὦ παῖ Κλυταιμνήστρας τε, κἀγαμέμνονος,
παρθένε μακρὸν δὴ μῆκος Ηλέκτρα χρόνου,
πῶς ὦ τάλαινα σύ τε, κασίγνητός τε σὸς
θλήμων Ορέστης ματρὸς ὅδε φονεὺς ἔφυ;
προσφθέγμασι γὰρ οὐ μαίνομαι σεθεν,
εἰς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν.
καίτοι στένωγε τὸν Κλυταιμνήστρας μόρον,
ἐμῆς ἀδελφῆς. ἣν ἐπεὶ πρὸς Ιλιον
ἔπλευσ', ὅπως δ' ἔπλευσα θεομανεῖ πότμῳ,
οὐκ εἶδον. ἀπρλειφθεῖσα δ', αἰάζω τύχας.
ἠλέ Ελένη, τί σοι λέγοι μ' ἂν ἅγε παροῦσ' ὁρᾷς,
ἐν συμφοραῖσι τὸν Αγαμέμνονος γόνον;
ἐγὼ μὲν ἄϋπνος, πάρεδρος ἀθλίῳ νεκρῷ,
νεκρὸς γὰρ οὗτος οὕνεκα σμικρᾶς πνοῆς,

θάσσω

θάσσω. τὰ τούτου δ' οὐκ ὀνειδίζω κακά.
σὺ δ' εἶ μακαρία. μακάριός θ' ὁσὸς πόσις.
ἥκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραγότας.
ἑλέ πόσον χρόνον δὲ δεμνίοις πέπτωχ' ὅδε;
ἠλέ ἐξ οὗπερ αἷμα γενέθλιον κατήνυσεν.
ἑλέ ὦ μέλεος. ἡ τεκοῦσά θ' ὡς διώλετο.
ἠλέ οὕτως ἔχει τάδ'. ὥστ' ἀπείρηκ' ἐν κακοῖς.
ἑλέ πρὸς θεῶν πιθοῖ' ἂν δῆτά μοι τι παρθένε;
ἠλέ ὡς ἀσχολόσγε συγγόνου προσεδρίᾳ.
ἑλέ βούλῃ τάφον μοι πρὸς κασιγνήτης μολεῖν;
ἠλέ ματρὸς κελεύεις τῆς ἐμῆς, τίνος χάριν;
ἑλέ κόμης ἀπαρχὰς, καὶ χοὰς φέρουσ' ἐμάς.
ἠλέ σοὶ δ' οὐχὶ θεμιτὸν πρὸς φίλον στείχειν τάφον;
ἑλέ δεῖξαι γὰρ Αργείοισι σῶμ' αἰσχύνομαι.
ἠλέ ὀψέγε φρονεῖς εὖ. τότε λιποῦσ' αἰσχρῶς δόμους;
ἑλέ ὀρθῶς ἔλεξας, οὐ φίλως δέ μοι λέγεις.
ἠλέ αἰδὼς δὴ δή τις ἐς Μυκηναίους ἔχει;
ἑλέ δέδοικα πατέρας τῶν ὑπ' Ιλίῳ νεκρῶν.
ἠλέ δεινὸν γὰρ Αργεῖ τ' ἀναβοᾷ δὰ στόμα.
ἑλέ σὺ νῦν χάριν μοι τὸν φόβον λύσασα δός.
ἠλέ οὐκ ἂν δυναίμην ματρὸς εἰσβλέψαι τάφον.
ἑλέ αἰσχρόν γε μέντοι πρόσπολον φέρειν τάδε.
ἠλέ τί δ' οὐχὶ θυγατρὸς Ερμιόνης πέμπεις δέμας;
ἑλέ Εἰς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.
ἠλέ καὶ μὴν τίνοιγ' ἂν τῇ τεθνηκυίᾳ τροφάς.
ἑλέ ὀρθῶς ἔλεξας. πείθομαι τέσοι κόρη,
καὶ πέμψομαί γε θυγατέρ'. εὖ γάρ τοι λέγεις.
ὦ τέκνον ἔξελθ' Ερμιόνι δόμων πάρος.
καὶ λάβε χοὰς τάσδ' ἐν χεροῖν, κόμας τ' ἐμάς.
ἰλθοῦσα δ' ἀμφὶ τὸν Κλυτα ἐμνήστρας τάφον,

 μελικρα

μελίκρατ' ἄφες γάλακτος, οἰνοπόν τ' ἄχνην.
Ὡς σᾶσ' ἐπ' ἄκρου χώματος, λέξον τάδε.
Ελένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς,
φόβῳ προσελθεῖν μνῆμα σὸν, ταρβοῦσα τε
Αργεῖον ὄχλον. εὐμενῆ δ' ἄνωγέ νιν
ἐμοί τε, καὶ σοὶ, καὶ πόσει γνώμην ἔχειν,
κοῖντ' ἀθλίοιν τοῖνδ', οὓς ἀπώλεσε θεός.
ἃ δ' εἰς ἀδελφὴν καιρὸς ἐκπονεῖν ἐμὴν
ἅπ' ἄνθ' ὑπισχνοῦ νερτέρων δωρήματα.
ἴθ' ὦ τέκνον μοι σπεῦδε. καὶ χοὰς τάφῳ
δοῦσ', ὡς τάχιστα τῆς πάλιν μέμνησ' ὁδοῦ.
ἠλέ Ω φύσις ἐν ἀνθρώποισιν ὡς μέγ' εἶ κακόν,
» Σωτήριόν τε τοῖς καλῶς κεκτημένοις.
εἴδετε παρ' ἄκρας ὡς ἀπέθριξε τρίχας,
σώζουσα κάλλος, ἐστὶ δ' πάλαι γυνή;
θεοί σε μισήσειαν, ὥς μ' ἀπώλεσας,
Ὡς τόνδε, πᾶσάν θ' Ἑλλάδ'. ὦ τάλαιν' ἐγώ.
αἵδ' αὖ πάρεισι τοῖς ἐμοῖς θρηνήμασι
φίλαι ξυνῳδοί. τάχα μεταστήσουσ' ὕπνου
τόνδ' ἡσυχάζοντ'. ὄμμα δ' ἐκτήξουσ' ἐμὸν
δακρύοις, ἀδελφὸν ὅταν ὁρῶ μεμηνότα.
ὦ φίλταται γυναῖκες, ἡσύχῳ ποδὶ
χωρεῖτε, μὴ ψοφεῖτε, μὴ δ' ἔστω κτύπος.
φιλία γὰρ ἡ σὺ, πρευμενὴς μὲν, ἀλλ' ἐμοὶ
τόνδ' ἐξεγεῖραι, συμφορὰ γενήσεται
χο σίγα, λεπτὸν ἴχνος ἀρβύλης
τιθεῖτε. μὴ κτυπεῖτε. μήδ' ἔστω κτύπος.
ἠλέ ἄπο πρόβατ' ἐκεῖσ', ἀπὸ πρό μοι κοίτας.
χο ἰδοὺ πείθομαι .Η. ἆ ἆ σύριγγος ὅπως πνοὰ
λεπτοῦ δόνακος ὦ φίλα φώνει μοι

ἴδ' ἄτρε

χο ἴδ' ἀτρεμαίαν ὡς ὑπόροφον φέρω βοάν.
ἠλέ ναὶ οὕτω κάταγε κάταγε. πρόσιθ' ἀτρέμας.
ἀτρέμας ἴθι, λόγον ἀπόδος ἐφ' ὅ, τι
χρέος ἐμόλετέ ποτε.
χρόνια γὰρ πεσὼν ὅδ', εὐνάζεται.
χο πῶς ἔχει; λόγου μετάδος ὦ φίλα
ἠλέ τίνα τύχαν εἴπω; τίνα δὲ συμφοράν;
ἔτι μὲν ἐμπνέει, βραχὺ δ' ἀναστένει.
χο τί φῄς; ὦ τάλας.
ἠλέ ὀλεῖς εἰ βλέφαρα κινήσεις
ὕπνου γλυκυτάταν φερομένῳ χαράν.
χο ὦ μέλεος, ἐχθίστων θεόθεν ἐργμάτων.
ὦ τάλας. φεῦ μόχθων.
ἠλέ ἄ. ἄ ἄδικος ἄδικα τότ' ἄρ' ἔλακεν
ἔλακεν ἀπόφονον, ὅτ' ἐπὶ τρίποδι
θέμιδος ἄρ' ἐδίκασε
φόνον ὁ Λοξίας ἐμᾶς ματέρος.
χο ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας.
ἠλέ σὺ γάρ νιν ὦ τάλαινα
θωΰξασ', ἔβαλες ἐξ ὕπνου.
χο εὔδειν μὲν οὖν νιν ἔδοξα.
ἠλέ οὐκ ἄφ' ἡμῶν; οὐκ ἀπ' οἴκων
πάλιν ἀνὰ πόδα σὸν εἱλίξεις
μεθεμένα κτύπου;
χο ὑπνώσει .Η. λέγεις εὖ.
χο πότνια πότνια νὺξ,
ὑπνοδότειρα τῶν πολυπόνων βροτῶν,
ἐρεβόθεν ἴθι. μόλε μόλε κατάπτερος
τὸν Αγαμεμνόνειον ἐπὶ δόμον.
ὑπὸ γὰρ ἀλγέων ὑπό τε συμφορᾶς

 διοιχόμεσθα.

διοιχόμεσθα, διοιχόμεσθα.
ἠλέ κτύπον ἠγάγετε. .Χ. οὐχί.
ἠλέ σίγα, σίγα, φυλασσομένα στόματος
ἀνακέλαδον ἄπο λέχεος,
ἥσυχον ὑπνου χαρὰν παρέξεις ὦ φίλα.
χο θρόει. τίς κακῶν τελευτὰ μένει;
ἠλέ θανεῖν. τίδ' ἄλλόγ' εἴπω;
οὐδὲ γὰρ πόθον ἔχει βορᾶς.
χο πρόδηλος ἄρ' ὁ πότμος.
ἠλέ ἐξέθυσ' Φοῖβος ἡμᾶς
μέλεον ἀπόφονον αἷμα δοὺς
πατροφόνου ματέρος.
χο δίκαια μὲν, καλῶς δ' οὔ.
ἠλέ ἔκανες, ἔθανες ὦ τεκομένα με
μᾶτερ. ἀὴρ δ' ὤλεσας
πατέρα, τέκνα τε τάδε σέθεν ἀφ' αἵματος.
ὀλόμεσθα, ὀλόμεσθ' ἰσονέκυες.
σὺ γάρ τ' ἐν νεκροῖς. τό, τ' ἐμὸν οἴχετ'
βίου τὸ πλέον μέρος ἐν
στοναχῇσί τε καὶ γόοις,
δάκρυσί τ' ἐννυχίοις. ἄγαμος,
ἐπεὶ δ' ἄτεκνος ἅτε βιότου
ἁ μέλεος εἰς τὸν αἰὲν ἕλκω χρόνον.
χο ὅρα παρῶσα παρθέν' Ηλέκτρα πέλας,
μὴ κατθανών σε σύγγονος λέληθ' ὅδε.
οὐ γάρ μ' ἀρέσκει τῷ λίαν παρειμένῳ.
ὀρέ ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
ὡσ ἡδύ μοι προσῆλθες ἐνδέοντίγε.
ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ,
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.

πόθεν

πόθεν πότ' ἦλθον δεῦρο; πῶς δ' ἀφικόμην;
ἀμνημονῶ γὰρ τῶν πρὶν ἀπλειφθεὶς φρενῶν.
ἠλέ ὦ φίλταθ', ὥς μ' ἠύφρανας εἰ ὕπνον πεσών.
βούλει θίγω σου, κἀνακουφίσω δέμας;
ὀρέ λαβοῦ λαβοῦ δῆτ'. ἐκδ' ὁμορξον ἀθλίου
στόματος ἀφρώδη πέλανον, ὀμμάτων τ' ἐμῶν.
ἠλέ ἰδοὺ τὸ δούλευμ' ἡδὺ, κοὐκ ἀναίνομαι.
ἀδέλφ' ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.
ὀρέ ὑπόβαλε πλευροῖσι πλευρὰ, καὶ αὐχμώδη κόμην
ἄφελε προσώπου. λεπτὰ γὰρ λεύσσω κόραις.
ἠλέ ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
ὡς ἠγρίωσαι δὰ μακρᾶς ἀλουσίας.
ὀρέ κλῖνόν μ' ἐς εὐνὴν αὖθις. ὅταν μ' ἀνῇ νόσος
μανίας, ἄναρθρός εἰμι, κἀσθενῶ μέλη.
ἠλέ ἰδού. φίλον τοι τῶν νοσοῦντι δέμνιον.
" Ανίαρον ὂν τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως.
ὀρέ αὖθίς μ' ἐς ὀρθὸν στῆσον. ἀνακύκλει δέμας.
χο Δυσάρεστον οἱ νοσοῦντες ἀπρείας ὕπο
ἠλέ ἦ κἀπὶ γαίης ἁρμόσαι πόδας θέλεις,
" χρόνιον ἰχνος θείς; Μεταβολὴ πάντων γλυκύ.
ὀρέ μάλιστα. δόξαν γὰρ τόδ' ὑγείας ἔχει.
" Κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.
ἠλέ ἄκουε δὴ νῦν ὦ κασίγνητον κάρα,
ἕως ἐῶσίσ' εὖ φρονεῖν Ερινύες.
ὀρέ λέξεις τί καινόν; κεἰ μὲν εὖ, χάριν φέρεις.
εἰ δ' εἰς βλάβην τίν' ἅλις ἔχω τοῦ δυστυχεῖν.
ἠλέ Μενέλαος ἥκει σοῦ κασίγνητος πατρός.
ἐν Ναυπλίῳ δὲ σέλμαθ' ὥρμισται νεῶν.
ὀρέ πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς;
ἀνὴρ ὁμογενὴς, καὶ χάριτας ἔχων πατρός;

 ἥκει,

ἠλέ ἥκει, τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου,
Ελένην ἀγόμενος Τρωϊκῶν ἐκ τειχέων
ὀρέ εἰ μόνος ἐσώθη, μᾶλλον αὖ ζηλωτὸς ἦν.
εἰ δ' ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.
ἠλέ ἐπίσημον ἔτεκε Τυνδάρεως εἰς τὸν ψόγον
γένος θυγατέρων, δυσκλεές τ' ἀν' Ελλάδα.
ὀρέ σὺ νῦν διάφερε τῶν κακῶν. ἔξεστι γάρ.
καὶ μὴ μόνον λέγ', ἀλλὰ καὶ φρόνει τάδε.
ἠλέ οἴ μοι κασίγνητ', ὄμμα σὸν ταράσσεται,
ταχὺ δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.
ὀρέ ὦ μάτερ, ἱκετεύω σε μὴ πίσειέ μοι
τὰς αἱματωπὸς καὶ δρακοντώδεις κόρας
αὗται γὰρ αὗται πλησίον θρώσκουσί μου
ἠλέ μέν' ὦ ταλαίπωρ' ἀτρέμας σοῖς ἐν δεμνίοις.
ὁρᾷς γὰρ οὐδὲν, ὧν δοκεῖς σάφ' εἰδέναι.
ὀρέ ὦ Φοῖβ, ἀπόκτενουσί μ' αἱ κυνώπιδες
γοργῶπες ἐνέρων ἱέρειαι, δεινὰι θεαί.
ἠλέ οὔτοι μεθήσω. χεῖρα δ' ἐμπλέξασ' ἐμὴν,
σχήσω σε πηδᾷν δυστυχῆ πηδήματα.
ὀρέ μέθες μί' οὖσα τῶν ἐμῶν Ἐρριννύων
μέσον μ' ὀχμάζεις, ὡς Βάλῃς εἰς τάρταρον,
ἠλέ οἴ ἐγὼ τάλαινα, τίν' ἐπικουρίαν λαβω,
ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;
ὀρέ δὸς τόξά μοι κερουλκὰ, δῶρα Λοξίου
οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνεσθαι θεάς,
εἴ μ' ἐκφοβοῖεν μανιάσι. λυσσήμασι,
ἠλέ Βεβλήσεταί τις θεῶν Βροτησίᾳ χερί;
ὀρέ εἰ μὴ ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
οὐκ εἰσακούετ'; οὐχ ὁρᾶθ' ἑκηβόλων
τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;

ἆ. ἆ. τί

ἆ. ἆ. τί δῆτα μέλλετ', ἐξακρίζετ' ἀιθέρα
πτεροῖς, τὰ Φοίβου δ' αἰτιᾶσθε θέσφατα;
ἔα. τί χρῆ μ' ἀλύω, πνεῦ μ' ἀνεὶς ἐκ πνευμόνων;
ποῖ, ποῖ ποθ' ἡλάμεσθα δεμνίων ἄπο;
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ.
ἠλέ σύγγονε, τί κλαίεις κρᾶτα θεὶς εἴσω πέπλων;
ὀρέ αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν,
ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν.
σὺ μὲν γὰρ ἐπένευσας τάδ', εἴργασαι δ' ἐμοὶ
ματρῷον αἷμα. Λοξίᾳ δὲ μέμφομαι,
ὅστις μ' ἐπάρας εἰς ἔργον ἀνοσιώτατον,
τοῖς μὲν λόγοις ἤυφρανε, τοῖς δ' ἔργοισιν οὔ.
οἶμαι δὲ πατέρα τὸν ἐμὸν εἰ κατ' ὄμματα
ἐξιστόρουν νιν, μητέρ' εἰ κτεῖναι με χρὴ,
πολλὰς γενείου τοῦδ' ἂν ἐκτεῖναι λιτὰς,
μήπω τεκούσης εἰς σφαγὰς ὦσαι ξίφος,
εἰ μήτ' ἐκεῖνος ἀναλαβεῖν ἤ μελλε φῶς,
ἐγὼ δ' ὁ τλήμων τοιάδ' ἐκπλήσειν κακά.
καὶ νῦν ἀνακάλυπτ' ὦ κασίγνητον κάρα.
ἐκ δακρύων τ' ἄπελθε, κεἰ μάλ' ἀθλίως
ἔχομεν. ὅταν δὲ τἄμ' ἀθυμήσαντ' ἴδῃς,
σύ μου τὸ δεινὸν καὶ διαφθαρὲν φρενῶν
ἴσχανε, παραμυθοῦ δ', ὅταν δὲ σὺ στένῃς,
ἡμᾶς παρόντας, χρή σε νουθετεῖν φίλα.
« Ἐπικουρίαι γὰρ αἵδε, τοῖς φίλοις καλαί.
ἀλλ' ὦ τάλαινα, βᾶσα δωμάτων ἔσω,
ὕπνῳ τ' ἄϋπνον βλέφαρον ἐκταθεῖσα δός.
σῖτόν τ' ὄρεξαι, λουτράτ' ἐπὶ χρωτὶ βάλε.
εἰ γὰρ προλείψεις μ', ἢ προσεδρίᾳ νόσον

κτήσῃ τίν', οἰχόμεσθα. σὲ γὰρ ἔχω μόνην
ἐπίκουρον, ἄλλων ὡς ὁρᾷς ἔρημος ὤν.
ἠλέ οὐκ ἐστί. σύν σοι κατθανεῖν αἱρήσομαι,
καὶ ζῆν. ἔχει γὰρ ταυτὸν ἢν σὺ κατθάνῃς,
γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι;
ἀνάδελφος, ἀπάτωρ. ἄφιλος εἰδέ σοι δοκεῖ,
δρᾷ νυχὴ τάδ'. ἀλλὰ κλῖνον εἰς εὐνὴν δέμας.
καὶ μὴ τὸ ταρβοῦν κἀκφοβοῦν σ' ἐκ δεμνίων
ἄγαν ἀπαλέχου. μένε δ' ἐπὶ στρωτοῦ λέχους.
κἂν μὴ νοσῇς γάρ, ἀλλὰ δοξάζεις νοσεῖν.
κάματος βροτοῖσιν, ἀπρίατε γίνεται.
χρ αἶ. αἶ. δρομάδες ὦ πτεροφόροι,
ποτνιάδες θεαί,
ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν
δάκρυσι, καὶ γόοις, μελαγχρῶτες, εὖ μενίδες, αἵ τε
τὸν ταναὸν αἰθέρ' ἀμπάλλεσθ' αἵματος
τινύμεναι δίκαν, τινύμεναι φόνον,
καθικετεύομαι, καθικετεύομαι,
τὸν Αγαμέμνονος γόνον ἐάσατ' ἐκ
λαθέσθαι λύσσας μανιάδος φοιταλέου.
φεῦ μόχθων, οἵων ὦ τάλας ὀρεχθεὶς, ἔρρεις
τρίποδος ἀπόφασιν, ἂν ὁ Φοῖβος
ἔλακεν ἔλακε δεξάμενος ἀνὰ δάπεδον,
ἵνα μεσόμφαλοι λέγονται μυχοὶ γᾶς.
ἰὼ Ζεῦ. τίς ἔλεος; τίς ὅδ' ἀγὼν
φόνιος ἔρχετ;
θοάζων σὲ τὸν μέλεον; ὦ δάκρυα
δάκρυσι συμβάλλει
πορεύων τις εἰς δόμους ἀλαστόρων.
ματέρος αἷμα σᾶς ὅ σ' ἀναβακχεύει.
κατολοφύρομαι, κατολοφύρομαι. Ο μέγας

» Ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς,
» Ἀνὰ δὲ λαῖφος ὥς τις ἀκάτου θοᾶς
» Τι νάξας δαίμων, κατέκλυσε
» Δεινῶν πόνων, ὡς πόντου
» Λάβροις ὀλεθρίοισιν ἐν κύμασι.
τίνα γὰρ ἔτι πάρος οἶκον ἄλλον
ἕτερον, ἢ τὸν ἀπὸ θεογόνων γάμων
τῶν ἀπὸ Ταντάλου σέβεσθαί μεχρή;
καὶ μὴν Βασιλεὺς ὧδε δὴ στείχει
Μενέλαος ἄναξ. πολλῇ δ' ἁβροσύνῃ
δῆλος ὁρᾶσθαι, τῶν Τανταλιδῶν ἐξ αἵματος ὤν.
ὦ χιλιόναυν στρατὸν ὁρμίσας
εἰς γῆν Ασίαν, χαίρ'. εὐτυχίᾳ δ' αὐτὸς ὁμιλεῖς,
θεόθεν πράξας ἅπερ ἤυχου.
με ὦ δῶμα, τῇ, μέν σ' ἡδέως προσδέρκομαι,
Τροίαθεν ἐλθών. τῇ, δ' ἰδὼν καταστένω.
κύκλῳ γὰρ εἰ λιθεῖσαν ἀθλίοις κακοῖς
οὐπώποτ' ἄλλην μᾶλλον εἶδον ἑστίαν.
Αγαμέμνονος μὲν γὰρ τύχας ἠπιστάμην,
καὶ θάνατον, οἵῳ πρὸς δάμαρτος ὤλετο
Μαλέᾳ προσίσχων πρώραν. ἐκ δὲ κυμάτων
ὁναυτίλοισι μάντις ἐξήγγειλέ μοι
Νηρέως προφήτης Γλαῦκος, ἀψευδὴς θεός.
ὅς μοι τάδ' εἶπεν ἐμφανῶς παρασταθείς.
Μενέλαε, κεῖτ' σὸς κασίγνητος θανὼν,
λουτροῖσιν ἀλόχου πρῖπεσὼν πανυστάτοις.
δακρύων τ' ἔπλησεν ἐμέ τε, καὶ ναύτας ἐμοὺς
πολλῶν. ἐπεὶ δὲ Ναυπλίας ψαύω χθονὸς,
ἤδη δάμαρτος ἐνθάδ' ἐξορμωμένης,
δοκῶν Ορέστην παῖδα τὸν Αγαμέμνονος,

φίλαισι

φίλαισι χερσὶ πρίβαλεῖν, ἐς ματέρα,
ὡς εὐτυχοῦντας, ἔκλυον ἁλικτύπων τινὸς
τῆς Τυνδαρείας θυγατρὸς ἀνόσιον φόνον.
καὶ νῦν ὅπου ἐστίν, εἴπατ' ὦ νεάνιδες,
Αγαμέμνονος παῖς ὃς τὰ δεῖν' ἔτλη κακά.
Βρέφος γὰρ ἦν τότ' ἐν Κλυταιμνήστρας χεροῖν,
ὅτ' ἐξέλιπον μέλαθρον, ἐς Τροίαν ἰών.
ὥστ' οὐκ ἂν αὐτὸν γνωρίσαι μ' ἂν εἰσιδών.

ὀρέ ὅδ' εἰμ' Ορέστης Μενέλεως, ὃν ἱστορεῖς.
ἑκὼν ἐγώ σοι τὰ μὰ σημανῶ κακά.
τῶν σῶν δὲ γονάτων πρωτόλεια θιγγάνω,
ἱκέτης ἀφύλλου στόματος ἐξάπτων λιτάς.
σῶσόν μ', ἀφῖξαι δ' αὐτὸς εἰς καιρὸν, κακῶν.

με ὦ θεοί, τί λεύσσω; τίνα δέδορκα νερτέρων;
ὀρέ εὖγ' εἶπας. οὐκ γὰρ ζῶ κακοῖς, φάος δ' ὁρῶ.
με ὡς ἠγρίωσαι πλόκαμον αὐχμηρὸν τάλας.
ὀρέ οὐχ ἡ πρόσοψίς μ', ἀλλὰ τἄργ' αἰκίζετ'.
με δεινὸν δὲ λεύσσεις ὀμμάτων ξηραῖς κόραις.
ὀρέ τὸ σῶμα φροῦδον, τὸ δ' ὄνομ' οὐ λέλοιπέ μοι.
με ὦ παράλογόν μοι σὴ φανεῖσ' ἀμορφία,
ὀρέ ὅδ' εἰ μὶ ματρὸς τῆς ταλαιπώρου φονεύς.
με ἤκουσα. φείδου δ' ὀλιγάκις λέγειν κακά.
ὀρέ φειδόμεθ'. ὁ δαίμων δ' εἰς ἐμὲ πλούσιος κακῶν.
με τί χρῆμα πάσχεις; τίς σ' ἀπόλλυσι νόσος;
ὀρέ ἡ σύνεσις. ὅτι σύνοιδα δεῖν' εἰργασμένος.
με πῶς φῄς; σοφόν τοι τὸ σαφές, οὐ τὸ μὴ σαφές.
ὀρέ λύπη μάλιστά δ' ἡ διαφθείρουσά με.
με δεινὴ γὰρ ἡ θεός, ἀλλ' ὅμως ἰάσιμος
ὀρέ μανίαι τε, ματρὸς δ' αἵματος τιμωρίαι.
με ἤρξω δὲ λύσσης πότε; τίς ἡμέρα τότ' ἦν;

ὀρέ ἐν ᾗ τάλαιναν μητερ' ἐξώγκων τάφῳ.
με πότερα κατ' οἴκους, ἢ προσεδρεύων πυρᾷ;
ὀρέ νυκτὸς, φυλάσσων ὀστέων ἀναίρεσιν.
με παρῆν τις ἄλλος, ὃς σὸν ὤρθευε δέμας;
ὀρέ Πυλάδης, ὁ συνδρῶν αἷμα καὶ ματρὸς φόνον.
με ἐκ φασμάτων δὲ τάδε νοσεῖς ποίων ὑπο;
ὀρέ ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας.
με οἶδ' ἃς ἔλεξας. ὀνομάσαι δ' οὐ βούλομαι.
ὀρέ σεμναὶ γάρ. ἀπαίδευτα δ' ἀκρτρέπου λέγειν.
με αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ;
ὀρέ οἴ μοι διωγμῶν, οἷσ' ἐλαύνομαι τάλας.
με οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους.
ὀρέ ἀλλ' ἐστὶν ἡμῖν ἀναφορὰ τῆς ξυμφορᾶς.
με μὴ θάνατον εἴπῃς. τοῦτο μὲν γὰρ οὐ σοφόν.
ὀρέ φοῖβος κέλευσας ματρὸς ἐκπράξαι φόνον.
με ἀμαθέστερος ὢν τοῦ καλοῦ καὶ τῆς δίκης;
ὀρέ δουλεύομεν θεοῖς, ὅτι ποτ' εἰσὶ θεοί.
με κᾆτ' οὐκ ἀμύνει Λοξίας τοῖς σοῖς κακοῖς;
ὀρέ μέλλει. Τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει.
με πόσον χρόνον δὲ ματρὸς οἴχονται πνοαί;
ὀρέ ἕκτον τόδ' ἦμαρ ἔτι πυρὰ θερμὴ τάφου.
με ὡς ταχὺ μετῆλθόν σ' αἷμα ματέρος θεαί.
ὀρέ οὐ σοφὸς, ἀληθὴς δ' εἰς φίλους ἔφυς κακός.
με πατρὸς δὲ δὴ τί σ' ὠφελεῖ τιμωρία;
ὀρέ οὔπω. Τὸ μέλλον δ' ἴσον ἀπραξίᾳ λέγω.
με τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις δράσας τάδε;
ὀρέ μισούμεθ' οὕτως, ὥστε μὴ προσεννέπειν.
με οὐδ' ἥγνισαι σὸν αἷμα κατὰ νόμους χεροῖν;
ὀρέ ἐκβάλλομαι γὰρ δωμάτων ὅποι μολῶ.
με τίνες πολιτῶν ἐξαμιλλῶνταί σε γῆς;

ορέ Οἴαξ, τὸ Τρόιας μῖσος ἀναφέρων πατρί.
με συννῆκα. Παλαμήδ᾽ος σε τι μωρεῖ φόνῳ.
ορέ ὅκῳ μετῆν μοι. δι᾽ ἃ τριῶν δ᾽ ἀπόλλυμαι.
με τίς δ᾽ ἄλλος; ἢ πᾶς τῶν ἀπ᾽ Αἰγίσθῳ φίλων;
ορέ ξυνοίμ᾽ ὑβρίζουσ᾽, ὧν πόλις πανὺν κλύει.
με Ἀγαμέμνονι δὲ σκῆπτρ᾽ ἐᾷς σ᾽ ἔχειν πόλις;
ορέ πῶς, οἵπινες ζῆν δείσ᾽ ἐῶσ᾽ ἡμᾶς ἔτι;
με τί δρῶντες, ὅ, τι καὶ σαφὲς εἰπεῖν ἔχεις ἐμοί;
ορέ ψῆφος καθ᾽ ἡμῶν οἵσετ᾽ ἐς τρίτην ἡμέραν.
με φεύγειν πόλιν τήνδ᾽, ἢ θανεῖν, ἢ μὴ θανεῖν;
ορέ θανεῖν ὑπ᾽ ἀστῶν λευσίμῳ πετρώματι.
με κἄτ᾽ ἐχὶ φεύγεις γῆς ὑπορβαλὼν ὅρους;
ορέ κύκλῳ γ᾽ εἱλισσόμεθα παγχάλκοις ὅπλοις.
με ἰδίᾳ πῶς ἐχθρῶν, ἢ πῶς Ἀργείας χθονός;
ορέ πάντων πῶς ἀστῶν ὡς θάνω, βραχὺς λόγος.
με ὦ μέλεος, ἥκεις συμφορᾶς εἰς τὸ σχάτον.
ορέ εἰς σ᾽ ἐλπὶς ἡ μὴ καταφυγὰς ἔχει κακῶν.
ἀλλ᾽ ἀθλίως πράσσουσιν δύτυχης μολὼν,
μεταίτιος φίλοισι σοῖσι σῆς δυπραξίας,
καὶ μὴ μόνος τὸ χρηὸν ἀκλαβὼν ἔχε,
ἀλλ᾽ ἀντιλάζου καὶ πόνων ἓν τῷ μέρει,
χάριτας πατρῴας ἐκτίνων εἰς ὃς σε δεῖ.
" Ὄνομα γάρ, ἔργον δ᾽ οὐκ ἔχουσιν οἱ φίλοι,
" Οἱ μὴ ἐπὶ ταῖσι συμφοραῖς οὖσιν φίλοι.
χο καὶ μὴν γέροντι δεῦρ᾽ ἀμιλλᾶται ποδὶ
ὁ ναυπλίας Τυνδάρεως μελάμπεπλος,
κηρᾷ τε θυγατρὸς πενθίμῳ κεκαρμένος.
ορέ ἀπωλόμην Μενέλαε Τυνδάρεως ὅδε
σείχει πρὸς ἡμᾶς. ὦ μάλις᾽ ἀισθόμ᾽ ἔχει
εἰς ὄμματ᾽ ἐλθεῖν, τοῖσιν ἐξειργασμένοις
ὃς γ᾽ μ᾽ ἔθρεψε μικρὸν ὄντα. πολλὰ δὲ φίλῳ

φίλῳ ματ᾽ ἐξέπλησε, τὸν Ἀγαμέμνονος
παῖδ᾽ ἀγκάλαισι περιφέρων. δεῖ δ᾽ αὖ
τιμῶν τέ μ᾽ ἐδεῖ ἧσσον, ἢ Διοσκόρω,
οἷς ὦ τάλαινα καρδία, ψυχήτ᾽ ἐμὴ,
ἀπέδωκε ἀμοιβὰς ὁ καλὰς. τίνα σκόπον
λάβω προσώπῳ; ποῖον δῆτ᾽ ἐπιπροδεῖν νέφος
θῶμαι, γέροντος ὀμμάτων φόβῳ κόρας;
τυν πῦ πῦ θυγατρὸς πῖς ἐμῆς ἴδιον πόσιν.
Μενέλαον; ἐπὶ γὰρ τὸν Κλυταιμήστρας τάφον
χοὰς χεόμενος, ἔκλυον ὡς ἐς Ναυπλίαν
ἥκει σὺν ἁλόχῳ πολυετὴς στρωσμόν.
ἄγετέ με. πῶς γ᾽ ἀλεξιᾶν αὐτὸν θέλω
σας, ἀπαράδαστα, χρόνιον εἰσιδὼν φίλον.
με ὦ πρέσβυ χαῖρε, Ζηνὸς ὁμόλεκτρον κάρα.
τυν ὦ χαῖρε καὶ σὺ Μενέλεως, κἀδίδυ μ᾽ ἐμόν.
με ἔα. τὸ μέλλον ὡς κακὸν τὸ μὴ εἰδέναι.
ὁ μητροφόντης ὅδε πῶς δ᾽ ὠμάτων δράκοις
σίλβει νοσώδεις ἀστραπὰς, σύγκ᾽ ἐμόν.
τυν Μενέλαε, πῶς φθέγγῃ νιν αὐσίον κάρα;
με τί γάρ; φίλτατ᾽ ἐμοὶ πατρὸς ὄντ᾽ ἔγγονος;
τυν κεῖνα γὰρ ὅδε πέφυκε τοῦτος γενής;
με πέφυκεν. εἰδὲ δυσυχεῖ, τιμητέος.
τυν βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις.
με ἑλληνικόνδε τὸν ὁμόθεν τιμᾶν ἀεί.
τυν καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι βέλειν.
με Γᾶν τὴν ἀνάγκης, δεῖλόν ἐς τὸ τῶν σοφῶν.
τυν κέκτησο νῦν σὺ τοῦτ᾽, ἐγὼ δ᾽ ἃ κτήσομαι.
με ὀργὴ γὰρ ἅμα σὺν καὶ τὸ γῆρας ἀ σοφόν.
τυν πῶς τόνδ᾽ ἀγὼν τῆς σοφίας ἥκει πτέρυξ;
ἃ τὰ καλὰ πᾶσι φανερὰ, καὶ τὰ μὴ καλὰ,

τοῦτε

τούτου τίς ἀνδρῶν γένετ' ἀσυνετώτερος;
ὅστις τὸ μὲν δίκαιον, οὐκ ἐσκέψατο,
οὐδ' ἦλθεν ἐπὶ τὸν κοινὸν, Ἑλλήνων νόμον.
ἐπεὶ γὰρ ἐξέπνευσεν Ἀγαμέμνων βίον,
πληγεὶς θυγατρὸς τῆς ἐμῆς ὑπὲρ κάρα,
αἴσχιστον ἔργον, οὐ γὰρ αἰνέσω ποτέ,
χρῆν δ' αὐτὸν ἐπιθεῖναι μὲν αἵματος δίκην
ὁσίαν, διώκοντ' ἐκβαλεῖν τε δωμάτων
ματέρα, τὸ σῶφρόντ' ἔλαβεν ἂν τῆς συμφορᾶς,
καὶ τοῦ νόμου τ' ἂν εἴχετ', εὐσεβής τ' ἂν ἦν.
νῦν δ' εἰς τὸν αὐτὸν δαίμον' ἦλθε ματέρι.
κακὴν γὰρ αὐτὴν ἐνδίκως ἡγούμενος,
αὐτὸς κακίων ἐγένετο ματέρα κτανών.
ἐρήσομαι δὲ Μενέλεως τοσόνδε σε.
εἰ τόνδ' ἀρκτείνειεν ὁμόλεκτρος γυνὴ,
χ' ὧ τοῦδε παῖς αὖ μητέρ' ἀνταποκτενεῖ,
κἄπειθ' ὁκείνου γενόμενος φόνῳ φόνον
λύσει, πέρας δὲ ποῖ κακῶν προβήσετε;
καλῶς ἔθεν τὸ ταῦτα πατέρες οἱ πάλαι.
εἰς ὀμμάτων μὲν ὄψιν οὐκ εἴων περᾶν,
οὐδ' εἰς ἀπάντη μ' ὅστις αἷ μ' ἔχων κυρεῖ.
φυγαῖσι δ' ὡσίου, ἀνταποκτεῖναι δὲ μή.
αἰεὶ ὑπὸ εἷς ἔμελλεν ἕξεσθαι φόνῳ,
τὸ λοίσθιον μίασμα λαμβάνων χεροῖν.
ἐγὼ δὲ μισῶ μὲν γυναῖκας ἀνοσίους
πρώτην δὲ θυγατέρ', πόσιν κατέκτανεν.
Ἑλένην δὲ τὴν σὴν ἄλοχον οὔποτ' αἰνέσω,
οὐδ' ἂν προσείποι μ'. οὐδέ σε ζηλῶ κακῆς
γυναικὸς ἐλθόνθ' οὕνεκ' εἰς Τρόιας πέδον.
ἀμύνω δ' ὅσόνπερ δυνατός εἰ μι, τῷ νόμῳ,

τὸ θηριῶδες

τὸ θηριῶδες τοῦτο καὶ μιαιφόνον
πάνων. ὃ καὶ γῆν καὶ πόλεις ὄλλυσ' ἀεί.
ἐπεὶ τίν' εἶχες ὦ τάλας ψυχὴν τότε.
ὅτ' ἐξέβαλε τὸν μαστὸν ἱκετεύουσά σε
μάτηρ; ἐγὼ μὲν οὐκ ἰδὼν τἀκεῖ κακὰ,
δακρύοις γέροντ' ὀφθαλμὸν ἐκτήκω τάλας.
ἐν οὖν λόγοισι τοῖς ἐμοῖς ὁμορροθεῖ,
μισῆγε πρὸς θεῶν, καὶ τίνεις ματρὸς δίκας,
μανίαις ἀλαίνων, καὶ φόβοις τί μαρτύρων
ἄλλων ἀκούειν δεῖ μ', ἅγ' εἰσορᾷν πάρα;
ὡς οὖν ἂν εἰδῇς Μενέλεως, τοῖσι θεοῖς
μὴ πράσσ' ἐναντί' ὠφελεῖν τοῦτον θέλων.
ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,
ἢ μὴ πίβαινε σπαρτιάτιδος χθονός.
θυγάτηρ δ' ἐμὴ θανοῦσ', ἔπραξεν ἐνδίκα.
ἀλλ' οὐχὶ πρὸς τοῦδ' εἰκὸς ἢ αὐτὴν θανεῖν.
ἐγὼ δὲ τἆλλα μακάριος πέφυκ' ἀνὴρ,
πλὴν εἰς θυγατέρας, τοῦτο δ' οὐκ εὐδαιμονῶ.
χο Ζηλωτὸς ὅστις ἠτυύχησεν εἰς τέκνα,
" Καὶ μὴ πισήμους συμφορὰς ἐκτήσατο.
ὀρέ ὦ γέρον, ἐγώ τοι πρὸς σε δειμαίνω λέγειν,
ὅπου σε μέλλω σήν τε λυπήσειν φρένα.
ἐγὼ δ' ἀνόσιός εἰμι ματέρα κτανὼν,
ὅσιος δέγ' ἕτερον ὄνομα τιμωρῶν πατρὶ
ἀπελθέτω δὴ τοῖς λόγοισιν ἐκποδὼν
τὸ γῆρας ἡμῖν τὸ σὸν, ὃ μ' ἐκπλήσσει λόγου,
καὶ καθ' ὁδὸν εἶμι. νῦν δὲ σὴν ταρβῶ τρίχα.
τί χρῆν με δρᾶσαι; δύο γὰρ ἀντίθες δυοῖν.
πατὴρ μὲν ἐφύτευσέ με, σὴ δ' ἔτικτε παῖς,
τὸ σπέρμ' ἄρουρα παραλαβοῦσ' ἄλλου πάρα.

» Ανδρὸς δὲ πατρὸς τέκνον οὐκ εἴη ποτ' ἄν.
ἐλογισάμην δ' ὅμ' ὠφελ' γένυς ἀρχηγέτη
μᾶλλόν μ' ἀμῦναι τῆς ὑποστάσης τροφάς.
ἢ σὴ γὰ θυγάτηρ, ματέρ' αἰσθάνομαι λέγειν,
ἰδίοισιν ὑμνάοισιν, κοὐχὶ σώφροσιν,
εἰς ἀνδρὸς ἥκει λέκτρ'. ἐμαυτὸν, ἢν λέγω
κακῶς ἐκείνην, ἐξερῶ. λέξω σ' ὅμως.
Αἴγισθος ἦν ὁ κρυπτὸς ἐν δόμοις πόσις.
τοῦτον κατέκτειν', ἐπὶ σ' ἔθυσα ματέρα,
αὐόσια μὲν δρῶν, ἀλλὰ τι μοιρῶν πατεί.
ἐφ' οἷς σ' ἀπειλεῖς ὡς πετρωθῆναί με χρὴ,
ἄκουσον, ὡς ἅπασιν Ελλάσ' ὠφελῶ.
εἰ γὰρ γυναῖκες εἰς τόσ' ἦξαν θράσος
ἄνδρας φονεύειν, καταφυγὰς ποιούμεναι
εἰς τέκνα, μασοῖς τὸν ἔλεον θηρώμεναι,
παρ' οὐδὲν αὐτὰς ἦν ἂν ὀλλύναι πόσεις,
ἐπίκλημ' ἐχόσας, ὅ, τι τύχοι δράσας σ' ἐγὼ
κλείν' ὡς σὺ κομπεῖς, τόνδ' ἔπαυσα τὸν νόμον.
μισῶν δὲ ματέρ', ὀρθίκως ἀπώλεσα.
ἅπας μεθ' ὅπλων ἀνδρὶ ἀπόντ' ἐκ δωμάτων
πᾶσις ὑπὲρ γῆς Ελλάδος στρατηλάτην,
πρὸς δ' ὠκε, κοὐκ ἔσωσεν ἀκήρατον λέχος
ἐπεὶ σ' ἁμαρτὸν' ἥδετ', οὐχ αὑτῇ δίκην
ἐπέθηκεν, ἀλλ' ὡς μὴ δίκην δίκη πόσει,
ἐζημίωσε πατέρα κἀπέκτειν' ἐμόν.
πρὸς θεῶν, ἐν ὀρθῷ μὲν ἐμνήσθην θεῶν
φόνον δικάζων, εἰ δ' ὅλη τὰ ματέρος
σιγῶν ἐπῆνον, τί μ' οὐ ἔδρασ' ὁ κατθανών;
οὐκ ἄν με μισῶν ἀνεχόρευ Ερινύσιν;
ἢ μητρὶ μὲν πάρεισι σύμμαχοι θεαὶ,
Ὀρ. σ'

Ὀρ. σ' ὀ πάρεισι μᾶλλον ἢ δίκη μόνω;
σὺ γοῦν φυτεύσας θυγατέρ' ὦ γέρον κακὴν,
ἀπωλεσάς με. σὺν γὰρ τὸ κείνης θράσος,
πατρὸς στερηθεὶς, ἐγχώμιν ματροκτόνον.
ὁρᾷς Οδυσσέως ἄλοχον; οὐκ κατέκτανε
Τηλέμαχος, ὀ γὼ ἐπεγάμει πόσει πόσιν.
μένει σ' ἐν οἴκοις ὑγιὲς ζυνασπίσιον.
ὁρᾷς δ' Ἀπόλλων' ὡς μεσομφάλους ἕδρας
ναίων, βροτοῖσι σῶμα σαφέστατον νέμει;
ὧν πειθόμεθ' ἅπανδ', ὅσ' ἂν κείνος λέγῃ;
τούτῳ πειθόμενον, τὴν τεκοῦσαν ἔκτανον.
ἐκεῖνον ἁγεῖσθ' αὐόσιον, καὶ κτείνετε.
ἐκεῖνος ἢ μαρτ', οὐκ ἐγώ. τί χρὴ με δρᾶν;
ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι
μίασμα λῦσαι; ποῖ τις ὧν ἔτ' ἂν φύγοι,
εἰ μὴ ὁ κελεύσας ῥύσεταί με μὴ θανεῖν;
ἀλλ' ὡς μὲν οὐκ εὖ, μὴ λέγ' εἰργάσατο τάδε,
ἡμῖν δὲ τοῖς δράσασιν οὐκ ὀνίναμένως.
» Γάμοι σ' ὅσοις μὲν εὖ καθεσταῖ βροτῶν,
» Μακάριος ἀνήρ. οἷς δ' μὴ πίπτουσιν εὖ,
» Τάδ' ἔνδον εἰσὶ τἄ τε θύραζε δύσνυχεῖς.
χο Αἰεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
» Εφυσεν ἀνδρῶν πρὸς τὸ δύσνυχέστερον.
τυρ ἐπεὶ θρασύνῃ, κοὐχ ὑποστέλλῃ λόγῳ,
ὅτῳ σ' ἀμείβῃ μ', ὥστε μ' ἀλγῆσαι φρένας,
μᾶλλόν μ' ἀνάψεις ἐπὶ σὸν ἐξελθεῖν φόνον.
καλὸν πάρεδρον σ' αὐτὸ θήσομαι πόνου,
ὧν ἕνεκ' ἤλθον θυγατέρι κοσμήσων τάφον.
μολὼν γὰρ εἰς ἐκκλησίαν Αργείων ὄχλου,
ἐκβᾶν ὀκνῶν ἐπίσταμαι πολὺν,

σοὶ, σῇ δ' ἀδελφῇ λοὐσιμον δ' ὀναι δίκην.
μᾶλλον δ' ἐκείνῃ σὸ θανεῖν ἐς' ἄξια.
ἥ σ' ἐκτάσῃ σ' ἠγρίωσ', εἰς ὃς ἀεὶ
πέμπτῳ μύθος ἐπὶ τὸ λυσιμωέστερον,
ὀνείρατ' ἀγγέλλοισα τ' Ἀγαμέμνονος.
καὶ τόθ', ὁ μισήσειαν Αἰγισθ' λέχος
οἱ νέρτεροι θεοί καὶ γὰρ ἔνθάδ' ἦν πικρόν,
ἕως ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί.
Μενέλαε, σοὶ γὰ τάδε λέγω, δράσω τε πρός.
εἰ τὸ μὲν ἔχθος ἐναείρῃ, κἀδὸς τ' ἐμοί,
μὴ θεοῖς δ' ἀμύνειν φόνον, ἐναντίον θεοῖς.
ἔασ' ἐνταῦθ' ἀεθλίους καταφονεύθηναι πέτροις.
ἢ μὴ πίβαινε Σπαρτιάτιδος χθονός.
τοσαῦτ' ἀκούσας, ἴσθι. μὴ δὲ δίυσεβεῖς
ἔλῃ παρώχας δυσεβεστέρους φίλους.
ἡμᾶς δ', ἀπ' οἴκων ἄγετε τῶνδ' ἐπρόσπολοι.
ὀρέ σεῖχ' ὡς ἀθορύβως δ' πιὼν ἡμῖν λόγος
πῶς τόνδ' ἵκηται, γῆρας ἀφυγὼν τὸ σόν.
Μενέλαε, ποῖ σὸν πόδ' ἐπὶ συννοίᾳ κυκλεῖς.
δίπλης μεθέμενος διπτύχους ἰὼν ὁδοῦ;
με ἔασον. ἦν ἐμαυτῷ τι συννοσμῶν θ'.
ὅπῃ πράπωμαι τῆς τύχης ἀμηχανῶ.
ὀρέ μὴ νῦν πέραινε τὴν δίκησιν. ἀλλ' ἐμὸς
λόγος ἀκοῦσας πρόδε, βουλοῦ τότε.
με λέγ'. εὖ γ' εἶπας. Ἐστι δ' ὅ σιγὴ λόγου
» Κρείσσων γένοιτ' ἄν. ὀδὶ δ' ὅ σιγῆς λόγος.
ὀρέ λέγοι μ' ἂν ἥδιστα. Τὰ μακρὰ τῶν σμικρῶν λόγων
» Ἐπίπροσθ' ἦν ὀδί, καὶ σαφῆ μᾶλλον πλύειν.
ἐμοὶ σὺ τῶν σῶν Μενέλεως μηδὲν δίδου.
ἃ δ' ἔλαβες, ἀπόδος, πατρὸς ἐμὸν λαβὼν πάρα.

ὃ χρή

ὃ χρήματ' εἶπον. χρήματ' ἦν ψυχὴν ἐμὴν
σώσῃς, ἄπαρ μοι φίλτατ' ὀδὶ τῶν ἐμῶν.
ἀδικῶ λαβεῖν χρῆν μ' ἀντὶ τοῦ δ' ἐτοῦ κακοῦ,
ἀδικοῦντι παρὰ σὸ γὰρ Ἀγαμέμνων πατὴρ
ἀδίκως ἀθροίσας Ἑλλάδ', ἦλθ' εἰς Ἴλιον,
οὐκ ἐξαμαρτὼν αὐτός, ἀλλ' ἁμαρτίαν
τῆς σῆς γυναικός, ἀδικίαν τ' ἐμὴν θ'.
ᾧ μὲν τόδ' ἦμῖν αὖθ' ἑνὸς δ' ὀναί σε χρή.
ἀπέδοτο δ' ὡς χρὴ τοῖς φίλοισι τοὺς φίλους,
τὸ σῶ μ' ἀληθῶς σοι πρὸ κατίδ' ἐκπονῶν,
ὅπως σὺ τὴν σὴν ἀρπλάβῃς ξυνάορον.
ἀπότισον δῆ μοι ταὐτὸ τοῦτ' ἐκεῖ λαβών,
μίαν πονήσας ἡμέραν ἡμῶν ὕπερ,
σωτήριος στὰς μὴ δίκην ἐκπλόκας ἔπι.
ἃ δ' Αὐλὶς ἔλαβε σφάγι' ἐμῆς ὁμοσπόρου,
ἐῶ σ' ἔχειν ταῦθ'. Ἑρμιόνην μὴ κτεῖναι σύ.
δεῖ γάρ σ' ἐμὸ πράσσοντος ὡς πράσσω τανῦν.
πλέον φέρεσθαι, κἀμὲ συγγνώμην ἔχειν.
ψυχὴν δ' ἐμὴν δὸς θὲς παλαιπώρῳ πατρί,
κἀμῆς ἀδελφῆς παρθένου μακρὸν χρόνον.
θανὼν γὰ, οἷπερ ὀρφανὸν λείπω πατρός.
» ἐρεῖς ἀδύνατον αὐτὸ τοῦτο; Τοὺς φίλους
» Ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν.
» Οταν δ' ὁ δαίμων εὖ δίδῳ, τί χρὴ φίλους
» Ἀρκεῖ γὰρ αὐτὸς. ὁ θεὸς, ὠφελεῖν θέλων.
φιλεῖν δ' ἁμαρτὰ πᾶσι Ἕλλησι δοκεῖς.
κοὐχ ὑστερέχω σε τοῦτο θωπείᾳ λέγων.
τούτοις ἐκνόμαισ'. ὦ μέλε θ' ἐμῶν κακῶν,
ὡς οἷον ἦκω; τί δὲ παλαιπωρεῖν με δεῖ;
ὑστὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε.

ὦ πατρὸς ὅμαι με θεῖε, τὸν κατὰ χθονὸς
θανόντ' ἀκούειν τάδε δόκει ποτωμένην
ψυχὴν ὑπὲρ σοῦ, καὶ λέγειν ἃ γὼ λέγω.
ταῦτ' εἴς τε δάκρυα, καὶ γόους, καὶ συμφορὰς
εἴρηκα, κἀπήτηκα τὴν σωτηρίαν
θηρῶν, ὁ πάντες κοὐκ ἐγὼ ζητῶ μόνος.
ἠλέ κἀγώ σ' ἱκνοῦμαι, καὶ γυνὴ περ οὖσ' ὅμως,
τοῖς δεομένοισιν ὠφελεῖν. οἷός τε δ' εἶ.
με Ὀρέστ', ἐγώ τοι σὸν καταδοῦμαι κάρα,
καὶ ξυμπονῆσαι σοῖς κακοῖσι βούλομαι.
καὶ χρὴ γὰρ οὕτω τῶν ὁμαιμόνων κακὰ
συνεκκομίζειν, δύναμιν ἢν διδῷ θεός,
θνήσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους.
τὸ δ' αὖ δύνασθαι, πρὸς θεῶν χρήζω τυχεῖν.
ἥκω γὰρ ἀνδρῶν συμμάχων κενὸν δόρυ
ἔχων, πόνοισι μυρίοις ἀλώμενος,
σμικρᾷ σὺν ἀλκῇ τὴν λελειμμένων φίλων.
μάχῃ μὲν οὖν ἂν οὐχ ὑπερβαλοίμεθα
πελασγὸν Ἄργος. εἰ δὲ μαλθακοῖς λόγοις
δυναίμεθ', ἐν ταῦθ' ἐλπίδος προσήκομεν.
σμικροῖσι μὲν γὰρ τὰ μεγάλα πῶς ἕλοι τίς ἂν
πόνοισιν; ἀμαθὲς καὶ τὸ βούλεσθαι τάδε.
» Ὅταν γὰρ ἡ βᾷ δῆμος εἰς ὀργὴν πεσὼν,
» Ὅμοιος ὥστε πῦρ κατασβέσαι λάβρον.
» Εἰ δ' ἡσύχως τίς αὐτῷ ἐντείνοντι μὲν
» Χαλῶν ὑπείκοι καιρὸν εὐλαβούμενος,
» Ἴσως ἂν ἐκπνεύσειεν. ὅταν δ' ἀνῇ πνοὰς,
» τύχοις ἂν αὐτοῦ ῥᾳδίως ὅσον θέλεις.
ἔνεστι δ' οἶκτος. ἐνὶ δὲ καὶ θυμὸς μέγας,
καραδοκοῦντι κτῆμα τιμιώτατον.

ἐλθὼν

ἐλθὼν δὲ Τυνδάρεων τέ σοι πειράσομαι,
πόλιν τε πεῖσαι τοῦδ' λίαν χρῆσθαι καλῶς.
καὶ ναῦς γὰρ ἐνταθεῖσα πρὸς βίαν ποδὶ
ἔβαψεν. ἔστη δ' αὖθις, ἢν χαλᾷ πόδα.
» Μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν προθυμίας,
» Μισοῦσι δ' ἀστοὶ δεῖ δέ μ', οὐκ ἄλλως λέγω,
σώζειν σε σοφίᾳ, μὴ βίᾳ τῶν κρεισσόνων.
ἀλκῇ δέ σ' οὐκ ἂν, ἢ σὺ δοξάζεις ἴσως.
σώσαι μ' ἄν. οὐ γὰρ ῥᾴδιον λόγχῃ μιᾷ
στῆσαι τρόπαια τῶν κακῶν, ἃ σοι πάρα.
οὐ γάρ ποτ' Ἄργους γαῖαν εἰς τὸ μαλθακὸν
προσηγόμεσθα. νῦν δ' ἀναγκαίως ἔχει
δούλοισιν εἶναι τοῖς σοφοῖσι τῆς τύχης.
ὀρέ ὦ πλὴν γυναικὸς οὕνεκα στρατηλατεῖν,
τἄλλ' οὐδέν. ὦ κάκιστε, τιμωρεῖν φίλοις
φεύγεις; ἀπεστραφεῖσμε; τὰ δ' Ἀγαμέμνονος
φροῦδ'; ἄφιλος ἦσθ' ἄρ' ὦ πάτερ, πράσσων κακῶς.
οἴμοι, προδέδομαι, κοὐκέτ' εἰσὶν ἐλπίδες,
ὅπῃ τραπόμενος, θάνατον Ἀργείων φύγω.
οὗτος γὰρ ἦν μοι καταφυγὴ σωτηρίας.
ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον βροτῶν
πυλάδην δρόμῳ στείχοντα Φωκέων ἄπο,
» ἡδεῖαν ὄψιν. Πιστὸς ἐν κακοῖς ἀνὴρ,
» Κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾷν,
πυ θᾶσσον ἢ μ' ἐχρῆν προβαίνων, ἱκόμην πρὸς ἄστεος,
σύλλογον πόλεως ἀκούσας τόνδ' ἰδὼν αὐτὸς σαφῶς
ἐπὶ σὲ, σύγγονόν τε τὴν σὴν, ὡς κτενοῦντας αὐτίκα.
τί τάδε; πῶς ἔχεις; τί πράσσεις φίλταθ' ἡλίκων ἐμοὶ
καὶ φίλων, καὶ συγγενείας; πάντα γὰρ τάδ' εἶ σύ μοι.
ὀρέ οἰχόμεσθ', ὡς ἐν βραχεῖ σοι τἀμὰ δηλώσω κακά.

 συγκατασκάπτοις

πυλ συγκατασκάπτοις ἂν ἡμᾶς. Κοινὰ γὰρ τὰ τῶν φίλων.
ὀρέ Μενέλεως κάκιστος εἰς ἐμὲ, καὶ κασιγνήτην ἐμήν.
πυλ Εἰκότως κακῆς γυναικὸς ἄνδραγινεσθαι κακόν.
ὀρέ ὥσπερ οὐκ ἐλθὼν, ἔμοιγε ταυτὸν ἀπέδωκε μολών.
πυλ ἦ γάρ ἐστιν ὡς ἀληθῶς τήνδ' ἀφιγμένος χθόνα;
ὀρέ χρόνιος. ἀλλ' ὅμως τάχιστα κακὸς ἐφωράθη φίλοις.
πυ καὶ δάμαρτα τὴν κακίστην ναυστολῶν ἐλήλυθεν;
ὀρέ οὐκ ἐκεῖνος, ἀλλ' ἐκείνη κεῖνον ἐνθάδ' ἤγαγεν.
πυ πῶ' στιν ἡ πλείστους Αχαιῶν ὤλεσε γυνὴ μία;
ὀρέ ἐν δόμοις ἐμοῖσιν, εἰ δὴ τούσδ' ἐμοὺς καλεῖν χρεών.
πυ σὺ δὲ τίνας λόγους ἔλεξας σοῦ κασιγνήτῳ πατρός;
ὀρέ μή μ' ἰδεῖς θανόνθ' ὑπ' ἀστῶν, καὶ κασιγνήτην ἐμήν.
πυ πρὸς θεῶν τί πρὸς τάδ' εἶπε; τόδε γὰρ εἰδέναι θέ-
ὀρέ σεὐλαβεῖσθ' ὃ τοῖς φίλοισι δρῶσιν οἱ κακοὶ φίλοι(λω
πυ κῆψιν ἐς ποίαν προβαίνων; ταῦτα πάντ' ἔχω μαθών
ὀρέ οὗτος ἦλθ' ὁ τὰς ἀρίστας θυγατέρας σπείρας πατὴρ.
πυ Τυνδάρεων λέγεις; ἴσως σοι θυγατέρος θυμούμενος.
ὀρέ αἰσθάνῃ. τὸ τοῦδε κῆδος μᾶλλον εἵλετ', ἢ πατρός.
πυ κοὐκ ἐτόλμησε πόνων σῶν ἀντιλάζυσθαι παρών.
ὀρέ οὐ γὰρ αἰχμητὴς πέφυκεν, ἐν γυναιξὶ δ' ἄλκιμος.
πυ ἐν κακοῖς ἄρ' εἶ μεγίστοις, καί σ' ἀναγκαῖον θανεῖν.
ὀρέ ψῆφον ἀφ' ἡμῶν πολίτας ἐπὶ φόνῳ θέσθαι χρεών.
πυ ἢ κρινεῖ τί πρᾶγμα; λέξον. δὰ φόβου γὰρ ἔρχομαι
ὀρέ ἢ θανεῖν, ἢ ζῆν. ὁ μῦθος δ' οὐ μακρὸς μακρῶν πέρι.
πυ φεῦγε νῦν λιπὼν μέλαθρα σὺν κασιγνήτῃ σέθεν.
ὀρέ οὐχ ὁρᾷς; φρουρίοις φυλασσόμεσθα πανταχοῦ.
πυ εἶδον ἄστεος ἀγυιὰς τεύχεσι φεφραγμένας.
ὀρέ ὥσπερ εἰ πόλις πρὸς ἐχθρῶν σῶμα πυργηρούμεθα.
πυ κἀμὲ νῦν ἔρου τί πάσχω. καὶ γὰρ κἀυτὸς οἴχομαι.
ὀρέ πρὸς τίνος; τοῦτ' ἂν προσείη τοις ἐμοῖς κακοῖς κακὸν

Στρόφιος

πυ Στρόφιος ἤλασέ μ' ἀπ' οἴκων φυγάδα θυμωθεὶς πῆρ.
ὀρέ ἴδιον, ἢ κοινὸν πολίταις ἐπιφέρων ἔγκλημά τι;
πυ ὅτι συνηράμην σοι φόνον ματρὸς ἀνόσιον λέγων.
ὀρέ ὦ τάλας, ἔοικε καὶ σὲ τἀμὰ λυπήσειν κακά.
πυ οὐχὶ Μενέλεω τρόποισι χρώμεσθ'; οἰστέον τάδε.
ὀρέ οὐ φοβῇ μήσ' Αργος ὥσπερ κἄμ' ἀποκτεῖναι θέλῃ.
πυ οὐ προσήκομαι κολάζειν τοῖσδε, φωκέων δὲ γῇ.
ὀρέ Δεινὸν οἱ πολλοὶ, κακούργους ὅταν ἔχωσι προστάτας.
πυ ἀλλ' ὅταν χρηστοὺς λάβωσι, χρηστὰ βουλεύουσ' ἀεί.
ὀρέ εἶεν. εἰς κοινόν τι λέγειν χρή.
πυ τίνος ἀναγκαίου πέρι;
ὀρέ εἰ λέγοιμ' ἀστοῖσιμ' ἐλθών.
πυ ὡς ἔδρασας ἔνδικα;
ὀρέ πατρὶ τιμωρῶν ἐμαυτοῦ.
πυ μὴ λάβωσί σ' ἄσμενοι.
ὀρέ ἀλλ' ὑποπτήξας σιωπῇ κατθάνω;
πυ δειλὸν τόδε. .Ο. πῶς ἂν οὖν δρῴην;
πυ ἔχεις τίν', ἢν μενῇς σωτηρίαν;
ὀρέ οὐκ ἔχω .Π. μολόντι δ' ἐλπίς ἐστι σωθῆναι κακῶν.
ὀρέ εἰ τύχοι γενοιτ' ἄν. Π. οὐκοῦν τοῦτο κρεῖσσον ἢ μένειν.
ὀρέ ἀλλὰ δῆτ' ἔλθω; Π. θανὼν γοῦν, ὧδε κάλλιον θανεῖν.
ὀρέ ἐς τὸ πρᾶγμ' ἔνδικόν μοι.
πυ τὸ δοκεῖν εὔχου μόνον.
ὀρέ εὖ λέγεις. φεύγω τὸ δειλὸν τῇδε.
πυ μᾶλλον ἢ μένων .Ο. καὶ τίς ἂν γέμ' οἰκτίσειε;
πυ μέγα γὰρ ἡ εὐγένειά σου. Ο θάνατον ἀσχάλλων πα
πυ πάντα ταῦτ' ἐν ὄμμασιν. (τρῷον;
ὀρέ ἰτέον. ὡς Ανανδρον ἀκλεῶς τὸ κατθανεῖν.
πυ αἰνῶ τάδε .Ο. ἦ λέγω μὲν οὖν ἀδελφῇ τοῦτ' ἐμῇ;
πυ μὴ πρὸς θεῶν. .Ο. δάκρυα γοῦν γένοιτ' ἄν.
πυ οὐκοῦν οὗτος οἰωνὸς μέγας. Ο. δηλαδὴ σιγᾷν ἄμεινον

πυ τῷ χρόνῳ δὲ κερδανεῖς. Ο. κεῖνό μοι μόνον πρόσαν-
πυ τί τόδε; καινὸν αὖ λέγεις. (τες
ὀρέ μὴ θεαί μ' οἴστρῳ κατάσχωσιν.
πυ ἀλλὰ κηδεύσω σ' ἐγώ.
ὀρέ δυσχερὲς ψάνειν νοσοῦντος ἀνδρός.
πυ οὐκ ἔμοι γέ σου. Ο. εὐλαβοῦ λύσσης μετασχεῖν τῆς ἐ-
πυ τόδ' οὖν ἴτω. Ο. οὐκ ἄρ' ὀκνήσεις; (μῆς
πυ Οκνος γὰρ τοῖς φίλοις κακὸν μέγα.
ὀρέ ἕρπε νῦν οἴαξ ποδός μοι.
πυ φίλαγ' ἔχων κηδεύματα.
ὀρέ καί με πρὸς τύμβον πόρευσον πατρός.
πυ ὡς τί δὴ τόδε; Ο. ὥς νιν ἱκετεύσω με σῶσαι.
πυ τὸ δὲ δίκαιον ὧδ' ἔχει.
ὀρέ ματρὸς δὲ μήτ' ἴδοιμι μνῆμα.
πυ πολεμία γὰρ ἦν.
ἀλλ' ἔπειγ', ὡς μή σε πρόσθεν ψῆφος Αργείων ἕλῃ,
περιβαλὼν πλευροῖς, ἐμοῖσι πλευρὰν νωχελῆ νό-
ὡς ἐγὼ δι' ἄστεός σε σμικρὰ φροντίζων ὄχλου, (σῳ.
οὐδὲν αἰσχυνθεὶς, ὀχήσω. πῦ γὰρ ἂν δείξω φίλος,
εἴ σε μὴ δεινᾶισιν ὄντα συμφοραῖς ἐπαρκέσω;
ὀρέ Τοῦτ' ἐκεῖνο κτᾶσθ' ἑταίρους, μὴ τὸ συγγενὲς μόνον.
» Ως ἀνὴρ ὅστις τρόποισι συντακῇ θυραῖος ὤν,
» Μυρίων κρείσσων ὁμαιμόνων ἀνδρὶ κεκτῆσθαι φί-
χο ὁ μέγας ὄλβος, ἅτ' ἀρετά, (λος.
μέγα φρονοῦσ' ἀν' Ἑλλάδα, ἐπὶ
παρὰ Σιμουντίοις ὀχετοῖς,
πάλιν ἀνῆλθ' ἐξ εὐτυχίας Ατρείδαις,
πάλαι παλαιὰς ἀπὸ συμφορὰς δόμων,
ὁπότε χρυσέας ἔρις ἀρνὸς
ἤλυθε Ταντάλίδαις,
οἰκτρότατα θοινάματα, καὶ

σφάγια γεναίων τέκνων. ὅθεν
φόνῳ φόνος ἔξα μείβων,
δι' αἵματος οὐ προλείπει
δισσοῖσιν Ατρείδαις.
τὸ καλὸν, οὐ καλὸν, τοκέων
πυριγενεῖ τέμνειν παλάμᾳ
χρόα. μελάνδετον δὲ φόνῳ
ξίφος εἰς αὐγὰς ἀελίοιο δεῖξαι.
τὸ δ' αὖ κακουργεῖν, ἀσέβεια μεγάλη,
κακοφρόνων τ' ἀνδρῶν παράνοια.
θανάτου γὰρ ἀμφὶ φόβῳ
Τυνδαρὶς ἰάχησε τάλαινα.
τέκνον, οὐκ τολμᾷς ὅσια,
κτείνων σὰν ματέρα.
μὴ πατρῴαν τιμῶν χάριν, ἐξανάψῃ
δύσκλειαν ἐς ἀεί.
τίς νόσος, ἢ τίνα δάκρυα,
καὶ τίς ἔλεος μείζων κατὰ γᾶν,
ἢ ματροκτόνον αἷμα χειρὶ θέσθαι;
οἷον οἷον ἔργον τελέσας,
βεβάκχευται μανίαις,
εὐμενίσι θήραμα φόνῳ
δρομάσι δινεύων βλεφάροις
Αγαμεμνόνειος παῖς;
ὦ μέλεος ματρὸς, ὅτε
χρυσεοπηνήτων φαρέων
μαστὸν ὑπερτέλλοντ' ἐσιδὼν,
σφάγιον ἔθετο ματέρα,
πατρῴων παθέων ἀμοιβάν.
ἀλε γυναῖκες, ἦπου τῶνδ' ἀφώρμηται δόμων
Τλήμων Ορέστης, θεομανεῖ λύσσῃ δαμείς;

χο ἥκιστα. πῶς δ' Ἀργείων ὄιχετ' λεὼν,
ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι
δώσων. ἓν ᾧ ζῆν ἢ θανεῖν ὑμᾶς χρεών.
ἀλε οἴμοι, τί χρῆμ' ἔδρασε; τίς δ' ἔπεισέ νιν;
χο Πυλάδ' ὑς. ἔοικε δ' ὁ μακρὰν ὀδὸν Ἀγγελ⊙
λέξειν τἀκεῖθεν σὸ κασιγνήτο πέρι.
ἄγ ὦ τλῆμον, ὦ δύστανε τὸ σὸν πλάτος
Ἀγαμέμνον⊙ παῖ πότνι' Ἠλέκτρα, λόγος.
ἄκουσον, ὅς σοι δύσυχεὶς ἥκω φέρων.
ἀλε ἀλ. ἀλ. δοιχόμεθα. δέδ⊙ εἰ λόγων.
κακῶν γ' ἥκεις ὡς ἔοικεν ἄγγελος.
ἄγ ψήφῳ Πελάσγων σὸν κασίγνητον θανεῖν,
καί σ' ὦ τάλαιν' ἔδοξε πῆδ' ἓν ἡμέρᾳ.
ἀλε εἶμοι, πῶς πάλαι ἔλπις, ἣν φοβουμένη
πάλαι, τὸ μέλλον ἐξεπεύχομην γόοις.
ἀτὰρ τίς ἀγών, τίνες ἓν Ἀργείοις λόγοι
καθεῖλον ἡμᾶς, κἀπεκύρωσαν θανεῖν;
λέγ' ὦ γεραιέ. πότερα λύσιμ' ὠχεῖ,
ἢ δὴ σιδήρου πνοῦμ' ἀκρᾴξαί με δεῖ,
κοινὰς ἀδελφῷ συμφορὰς κεκτημένην;
ἄγ ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω
βαίνων, πυθέσθαι σὸν κόμον τ' ἄτ' ἀμφὶ σοῖ,
τά τ' ἀμφ' Ὀρέστ. σῷ γὰρ δύνοιαρ πατρὶ
ἀεί ποτ' εἶχον, καί μ' ἔφερβε σὸς δόμ⊙,
πένητα μὲν, χρῆσθαι δὲ γενναῖον φίλοις.
ὁρῶ δ' ὄχλον σείχοντα. κἀξ ἔθασσοντ' ἄκραν,
ἃ φασι πρῶτον Δαναὸν Αἰγύπτῳ δίκας
δόντ', ἀθροῖσαι λαὸν εἰς κοινὰς ἕδρας.
ἀσῶν δὲ δ' ἢ τιν' ἡρόμην ἄθροισμ' ἰδὼν,
τί καινὸν Ἀργεῖ; μῶν τι πολεμίων πάρα
ἄγγελμ'

ἄγγελμ' ἀνέπερωσε Δαναϊδῶν πόλιν;
ὁδ' εἶπ', Ὀρέστην κεῖνον οὐχ ὁρᾶς πέλας
σείχοντ', ἀγῶνα θανάσιμον δραμούμενον;
ὁρῶ δ' ἄελπτον φάσμ', ὃ μή ποτ' ὤφελον,
Πυλάδ' ἡν τε σὸν σύγγονον σείχονθ' ὁμᾶ.
τὸν μὲν, κατιφῆ, παρειμένον νόσῳ.
πόνδ' ὥστ' ἀδελφὸν ἴσα φίλῳ λυπούμενον,
νόσιμα κηδεύοντα παιδαγωγίᾳ.
ἐπεὶ δὲ πλήρης ἐγένετ' Ἀργείων ὄχλ⊙,
κήρυξ ἀνασὰς, εἶπε. τίς χρῄζει λέγειν;
πότερον Ὀρέστην κατθανεῖν, ἢ μὴ χρεών,
μητροκτονοῦντα; κἀπὶ τῷδ', ἀνίστατο
Ταλθύβιος, ὃς σῷ πατρὶ συνεπόρθει Φρύγας.
ἔλεξε δ' ὑμὸ τοὺς δυναμένοισιν ὧν ἀεὶ
δίχομεθα. πατέρα μὲν σὸν ἐκπαγλούμεν⊙,
σὸν δ' οὐκ ἐπαινῶ σύγγονον, καλοῖς κακὸς,
λόγοις ἑλίσσων, ὅτι καθιστᾷ νόμους
εἰς τοὺς τεκόντας οὐ καλούς. τὸ δ' ὅμμ' ἀεὶ
φαιδρωπὸν ἐδίδου τοῖσιν Αἰγίσθου φίλοις.
» Τὸ γὰρ γένος τοιόνδ' ἐπὶ τοῖς δύστυχοῖ
» Γηλῶσ' ἀεὶ κήρυκες. ὅδ' ἐν αὖ τοῖς φίλος,
» Ὃς ἂν δύνηται, πόλεως ἓν τ' ἀρχαῖσιν ᾖ.
ἐπὶ τῷδ', ἀγόρευε Διομήδης ἄναξ.
ὅστις κτανεῖν μὲν ὅτι σ', ὅτι σύγγονον
εἶᾳ, φυγῇ δὲ ζημιοῦντας δύσεβεῖν.
ἐπερρόθησαν δ' οἱ μὲν, ὡς καλῶς λέγοι,
οἱ δ' οὐκ ἐπαινῶ. κἀπὶ τῷδ', ἀνίσταται
ἀνὴρ τις ἀθυρόγλωσσος, ἰχθύων θρασεὺς.
ἀργεῖος, οὐκ ἀργεῖος, ἀναγκασμῷ⊙.
θορύβῳ τε πίσυνος, κἀμαθεῖ παῤῥησίᾳ.
πιθανὸς

πιθανὸς ἔτ' αὐτὸς πρόβαλεῖν κακῷ τινι.
« Οταν γὰρ ἡδὺς τοῖς λόγοις, φρονῶν κακῶς
» Πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα.
» Οσοι δὲ σὺν νῷ χρηστὰ βουλεύσασ' ἀεί,
» κἀμὲ μὴ παραυτίκ' ὤφελις εἰσὶ χρήσιμοι
» Πόλει, θεᾶσθαι δ' ὧδε χρὴ τὸν πρόστατην
» Ισόνθ' ὁμοίου γὰρ τὸ χρῆμα γίνεται
» Τῷ τὸς λόγους λέγοντι, κἀμὲ τιμωμένῳ.
ὃς εἶπ' Ορέστην, καί σ' ἀκρτεῖναι πέτροις
βάλλοντας, ὑπὸ δ' ἔτεινε Τυνδάρεως λόγος
ὃς σφὼ κατακτείναντι τοιάδε λέγειν
ἄλλος δ' ἀνάστας, ἔλεγε δεῖν δ' ἀναυδία,
μορφῇ μὲν ὀκ σοφὸς, ἀνδρεῖος δ' ἀνήρ.
ὀλιγάκις ἄκυρ, κἀγορᾶς χαίνων κύκλον.
αὐτάρκης οἷπερ κἀμὲ μόνοι σώζουσι γῆν.
ξυνεὶς δ' ἐμὲ χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων,
ἀκέραιος. ἀνεπίληπτον ἠσκηκὼς βίον.
ὅσον δ' εἶπ' Ορέστην παῖδα τὸν Αγαμέμνονος
σεφανῦν. ὃς ἠθέλησε τιμωρεῖν πατρὶ,
κακὴν γυναῖκα κἄθεον κατακτανὼν
ἣ κεῖν' ἀφῆρει, μηδ' ὁπλίζεσθαι χέρα,
μήτε στρατεύειν ἐκλιπόντα δώματα,
εἰ τ' ὄνδρ' οἰκτρήμαδ' οἱ λελειμμένοι
φθείρουσιν, ἀνδρῶν σύνιδ' ἄς λωβώμενοι
καὶ τοῖσδε χρυσοῖς εὖ λέγειν ἐφαίνετο.
κἀδ' εἰς ἔτ' εἶπε. σὸς δ' ἐπῆλθε σύγγονος.
ἔλεξε δ', ὦ γῆν Ινάχου κεκτημένοι,
πάλαι Πελασγοί, Δαναΐδαι δ' ὕστερον,
ὑμῖν ἀμύνων ὧδε πόσον ἢ πατρὶ,
» ἔκτεινα μητέρ'. Εἰ γὰρ ἀρσένων φόνος

» Εσαὶ γυναιξὶν ὅσιος, ὃ φθάνοιτ' ἔτ' ἂν
» Θνήσκοντες. ἢ γυναιξὶ δουλεύειν χρεών;
τἀναντίον δὲ δράσετ', ἢ δράσαι χρεών.
νῦν μὲν γὰρ ἡ προδοῦσα λέκτρ' ἐμὸ πατρὸς,
πέθυμκεν. εἰ δὲ μὴ κατακτενεῖτέ με,
ὁ νόμος ἀνεῖτ', κἀ φθάνοι θνήσκων τις ἄν,
ὡς πᾶσγε τόλμης ὁ ταὰνις γενήσεται.
ἀλλ' ὀκ ἔπειθ' ὅμιλον εὖ δοκῶν λέγειν.
νικᾷ δ' ἐκεῖνος ὁ κακὸς ὢν πλήθει λέγων,
ὃς ἠγόρευε σύγγονον, σέ τε κτανεῖν.
μόλις δ' ἔπεισε μὴ πετρωθῆναι θανεῖν
πλήμων Ορέστης. αὐτόχειρι δὲ σφαγῇ
κατέσχετ' ὢν τῇδ' ἡμέρᾳ λείψειν βίον
σὺν σοί. πορδύει δ' αὖ τὴν ἐκκλήτων ἄπο
Πυλάδης δακρύων. σὺν δ' ὁμαρτοῦσι φίλοι
κλαίοντες. οἰκτείροντες. ἔρχεται δέ σοι
πικρὸν θέαμα, κἀπόσωσις ἀθλία.
ἀλλ' οὐ τρέπῃ φάσγανον, ἢ βρόχον δέρῃ,
ὡς λεῖ λιπεῖν σε φέγγος, οὐγένειαν ἥβ,
ὃν δίδου σ' ἐπωφέλησεν, ὃ δ' ὁ πάντων
τρίποδα καθιζῶν φοίβος, ἀλλ' ἀπώλεσεν.
ὦ δυστάλαινα παρθέν', ὡς ξυνηρεφὲς
πρόσωπον εἰς γῆν σὸν βαλοῦσ', ἄφθογγος εἶ,
ὡς εἰς στεναγμὸς καὶ γόους δραμουμένη.
ἀλλ' αἰ αἰ. κατάρχομαι στοναγμῶν ὦ Πελασγία,
πιθοῦσα δυσκόν' ὀνυχα δίᾳ παρειᾷ λώβαν,
αἱματηρὸν ἄταν.
κτύπου τε κρατὸς, ὃν ἔλαχ' ἄκρᾳ χθονὸς
νεοτέρων περσέφασσα, καλλιπαις θεά.
ἰαχείτω δὲ γᾶ Κυκλωπεία, σίδαρον ἐπὶ κράτα

πίθεῖα κάειμον, τῶν Ατρειδῶν πήματ' οἴκων.
ἔλεος ἔλεος ὅδ' ἔρχεται τῶν θανουμένων ὕπερ,
στρατηλατῶν Ελλάδος πότ' ὄντων.
βέβακε γὰρ βέβακεν, οἴχεται τέκνων
πρόπαλα γέννα Πέλοπος. ὅ, τ' ἐπὶ μακαρίοις
ζηλωτὸς ὢν ποτ' οἶκος, φθόνος νιν εἶλε θεόθεν,
ἅτε δυσμενὴς φονία Ψῆφος ὢν πολίταις.
ἰὼ, ἰώ, πανδάκρυτ' ἐφαμέρων ἔθνη πολύπονα,
λύσεθ' ὡς παρ' ἐλπίδα μοῖρα βαίνει.
ἕτερα δ' ἑτέροις ἀμείβετ'
πήματ' ὢν χρόνῳ μακρῷ.
Βροτῶν δ' ὁ πᾶς ἀστάθμητος αἰών.
μόλοιμι τὰν ὑρανᾶ μέσον χθονὸς
τεταμένᾳ ἀωρήμασι
πέτραν ἀλύσεσι, χρυσέαισι φερομένᾳν
δίναισι βῶλον ἐξ ὀλύμπου,
ἵν' ὢν θρήνοισιν ἀναβοάσω
γέροντι πατρὶ Ταντάλῳ
ὃς ἔτεκεν ἔτεκεν γενέτορας ἐμέθεν
δύμων, οἱ κατεῖδον ἄτας.
τὸ πανὸν μὲν δίωγμα πώλων,
πτεροποδάμονι τόλῳ,
Πέλοψ ὁπότε πελάγεσι δυσδίφρους,
Μυρτίλᾳ φόνον δικὼν ἐς οἶδμα πόντου,
λευκοκύμασι πῶς Γερεσίαις,
ποντίων σάλων ἵππεσιν ἁρματηλάτας. ὄθεν δόμοισιν
τοῖς ἐμοῖς πλὴθ ἁρὰ πολυσπόνοις,
λόχευμα ποιμνίοισι Μαιάδος τόκος,
τὸ χρυσόμαλλον ἀρνὸς οπότε
γῆν ἔχρανε πέρας ὅλου ὅλου
Ατρέως ἱππόβοτα. ὄθεν ἔρις τὸ πρῶτον

ἠελίου μεταβαλὼν ἅρμα, ταὐτὸ πῶς ἕ
ωστερον κέλευθον ὁρανοῦ πῶς ἁρμόσας,
μονόπωλον εἰς ἀῶ ἐπῆπτορά τε
φροιμήματα πλειάδος. εἰς ὁσ' ὁρ ἄλλαν
Ζεὺς μεταβάλλει. τῶνδε τ' ἀμείβει
θανάτους θανάτων. τά τ' ἐπώνυμα
δίπτυα Θυέστου, λέκτρα τε πρήσας
ἀδελφᾶς δολίας, δολίοισι γάμοις.
τὰ, πανύστατα δ' εἰς ἐμὰ ἦλθε γενέταν
ἐμὸν ἦλυθε, δόμων πολυπόνοις ἀνάγκαις.
χο καὶ μιν ὅδε σύγγονος ἕρπει
ψήφῳ θανάτου κατακυρωθείς,
ὅ, τε πισόταλος πάντων Πυλάδης,
ἰσάδελφος ἀνήρ, ἰθύνων
νοσερὸν κῶλον Ορέστου,
ποδὶ κηδεύων παράσειρος.
ηλε οἰ ἐγώ. πῶ τύμβου γάρ σ' ὁρῶσ' ἀναστένω
ἀδελφὲ καὶ πάροιθε νεκτέρων πυρᾶς.
οἰ ἐγὼ μάλ' ἄθλιος, ὡς ἰδίᾳ ὄμμασι
πανυστάτιμ προσοψιν, ἐξέσιμω φρενῶν.
ορε σὸν ἀφείσα τὰς γυναικείας γόους,
σέρξεις τὰ κραθέντ'; οἰκτρὰ μὲν τάδ', ἀλλ' ὅμως
φέρειν σ' ἀνάγκη τὰς παρεστώσας τύχας.
ηλε καὶ πῶς σιωπῶ, φέγγος εἰσορᾶν θεοῦ
πόδ' ἀκεύ' ἡμῖν τοῖς ταλαιπώροις μέτα;
ορε σὺ μή μ' ἀκρόκτειν'. ἄλις τὸ ἀργείας χερὸς
πέφυκ' ὀτλάμων. τὰ δὲ παρόντ' ἔα κιχεῖν.
ηλε ὦ μέλεος ἥβης σῆς Ορέστα, καὶ πότμου,
θανάτου τ' ἀώρου, ζῆν ἐχρῆν σ' ὅτ' ἀκέτ' ἦ.
ορε μὴ πῶς θεῶν μοι πρόμβαλῃς ἀναιδείαν,

εἰς δάκρυα πορθεύμουσ' οὐκ ὑπόμνησιν κακῶν.
ἠλέ θανούμεθ'. οὐχ οἷόν τε μὴ στένειν κακά.
» Πᾶσι γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.
ὀρέ τόδ' ἦμαρ ἡμῖν κύριον. δεῖ δ' ἢ βρόχους
ἅπτειν κρεμαστοὺς, ἢ ξίφος θήγειν χερί.
ἠλέ σὺ νῦν μ' ἀδελφὲ, μήτις Αργείων κτάνῃ,
ὕβρισμα θέμενος τὸν Αγαμέμνονος γόνον.
ὀρέ ἅλις τὸ μητρὸς αἷ μ' ἔχω. σὲ δ' οὐ κτενῶ,
ἀλλ' αὐτόχειρι θνῆσχ', ὅτῳ βούλει τρόπῳ.
ἠλέ ἔσται τάδ'. οὐδὲν σοῦ ξίφους λελείψομαι,
ἀλλ' ἀμφιθεῖναι σῇ δέρῃ θέλω χέρας.
ὀρέ τέρπου κενὴν ὄνησιν, εἰ τέρπνον τόδε,
θανάτου πέλας βεβῶσι περιβαλεῖν χέρας.
ἠλέ ὦ φίλτατ', ὦ ποθεινὸν, ἥδιστόν τ' ἔχων
τῆς σῆς ἀδελφῆς ὄνομα καὶ ψυχὴν μίαν.
ὀρέ ἔκτοι με τήξεις. καὶ σ' ἀμείψασθαι θέλω
φιλότητι χερῶν. τί γὰρ ἔτ' αἰδοῦμαι τάλας;
ὦ στέρν' ἀδελφῆς, ὦ φίλον πρόσπτυγμ' ἐμὸν,
τάδ' ἀντὶ παίδων καὶ γαμηλίου λέχους
προσφθέγματ' ἀμφὶ τοῖς ταλαιπώροις πάρα.
ἠλέ φεῦ. πῶς ἂν ξίφος νὼ ταυτὸν εἰ θέμις κτάνοι,
καὶ μνῆμα δέξαιθ' ἕν, κέδρου τεχνάσματα;
ὀρέ ἥδιστ' ἂν εἴ ταῦθ'. ὁρᾷς δὲ δὴ φίλων
ὡς ἐσπανίσμεθ', ὥστε κοινωνεῖ τάφου;
ἠλέ οὐδ' εἶφ' ὑπὲρ σοῦ μὴ θανεῖν σπουδὴν ἔχων
Μενέλαος ὁ κακὸς, ὁ προδότης τοῦ μοῦ πατρός;
ὀρέ οὐδ' δ' ὄμμ' ἔδειξεν. ἀλλ' ἐπὶ σκήπτροις ἔχων
τὴν ἐλπίδ', ἠυλαβεῖτο μὴ σῴζειν φίλους.
ἀλλ' εἴα, ὅπως γενναῖα κἀγαμέμνονος
δράσαντε κατθανούμεθ' ἀξιώτατα.
κἀγὼ μὲν εὐγένειαν ἀπεδείξω πόλει,

παίσας πρὸς ἧπαρ φασγάνῳ. σὲ δ' αὖ χρεὼν
ὅμοια πράσσειν τοῖς ἐμοῖς τολμήμασι.
Πυλάδη, σὺ δ' ἡμῖν τοῦ φόνου γενοῦ βραβεύς.
καὶ κατθανόντοιν, εὖ περίστειλον δέμας.
θάψοντε κοινῇ πρὸς πατρὸς τύμβον φέρων.
καὶ χαῖρ'. ἐπ' ἔργον δ' ὡς ὁρᾷς πορεύομαι.
πυ ἐπίσχες ἓν μὲν πρῶτά σοι μομφὴν ἔχω,
εἰ ζῆν με χρῄζειν σοῦ θανόντος ἠλπίσας.
ὀρέ τί γὰρ προσήκει κατθανεῖν σ' ἐμοῦ μέτα;
πυ ἤρου; τί δὲ ζῆν σῆς ἑταιρίας ἄτερ;
ὀρέ οὐκ ἔκτανες σὴν ματέρ', ὡς ἐγὼ τάλας.
πυ σὺν σοί γε. κοινῇ ταῦτα καὶ πάσχειν με δεῖ.
ὀρέ ἀποδὸς τὸ σῶμα πατρὶ, μὴ συνθνήσκε μοι.
σοὶ μὲν γὰρ ἐστὶ πόλις, ἐμοὶ δ' οὐκ ἐστὶ δή.
καὶ δῶμα πατρὸς, καὶ μέγας πλούτου λιμήν.
γάμου δὲ, τῆς μὲν δυσπότμου τῆσδ' ἐσφάλης,
ἥν σοι κατηγγύησ' ἑταιρίαν σέβων.
σὺ δ' ἄλλο λέκτρον παιδοποίησαι λαβών.
κῆδος δὲ τοῦ μὸν καὶ σὸν, οὐκέτ' ἐστὶ δή.
ἀλλ' ὦ ποθεινὸν ὄμμ' ὁμιλίας ἐμῆς,
χαῖρ'. οὐ γὰρ ἡμῖν ἐστι τοῦτο. σοί γε μήν.
» Οἱ γὰρ θανόντες, χαρμάτων τητώμεθα.
πυ ἦπου λέλειψαι τῶν ἐμῶν βουλευμάτων;
« Μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον,
» Μὴ λαμπρὸς αἰθὴρ, εἴσ' ἐγὼ προδούς ποτε,
» Ελευθερώσας τοῦ μὸν, ἀπολιποιμίσε.
καὶ συγκατέκτανον γὰρ, οὐκ ἀρνήσομαι,
ὃς πάντ' ἐβούλευσ', ὧν σὺ νῦν τίνεις δίκας.
καὶ ξυνθανεῖν οὖν δεῖ με σοὶ, καὶ τῇδ' ὁμοῦ.
ἐμὴν γὰρ αὐτὴν, ἧς λέχος ἐπήνεσα,

κρίνω δάμαρτα. τί γὰρ ἐρῶ καλόν ποτε,
γῆν Δελφίδ' ἐλθὼν, Φωκέων ἀκρόπτολιν,
ὃς πρὶν μὲν ὑμᾶς δυςυχεῖν, φίλος παρῆν,
νῦν δ' οὐκέτ' εἰμὶ δυςυχοῦντί σοι φίλος;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν κἀμοὶ μέλει.
ἐπεὶ δὲ κατθανούμεθ', εἰς κοινοὺς λόγους
ἔλθωμεν, ὡς ἂν Μενέλεως συνδυςυχῇ.
ὀρέ ὦ φίλτατ', εἴ γε τοῦτο κατθάνοι μ' ἰδών.
πυ πιθοῦ νῦν. ἀνάμεινον δὲ φασγάνου τομάς.
ὀρέ μενῶ, τὸν ἐχθρὸν εἴτι τιμωρήσομαι.
πυ σίγα νῦν, ὡς γυναιξὶ πιςεύω βραχύ.
ὀρέ μηδὲν τρέσῃς τάσδ', ὡς πάρεισ' ἡμῖν φίλαι.
πυ Ελένην κτάνωμεν, Μενέλεω λύπην πικράν.
ὀρέ πῶς; τὸ γὰρ ἕτοιμόν ἐστιν, εἴγ' ἔςαι καλῶς.
πυ σφάξαντες. ἐν δόμοις δὲ κρύπτεται σέθεν.
ὀρέ μάλιςα. καὶ δὴ πάντ' ἀκρσφραγίζετε.
πυ ἀλλ' οὐκέθ', ᾅδην νυμφίον κεκτημένη.
ὀρέ καὶ πῶς; ἔχει γὰρ βαρβάρους ὀπάονας.
πυ τίνας, Φρυγῶν γε οὐδέν' ἂν τρέσαι μ' ἐγώ.
ὀρέ οἵους ἐνόπτρων καὶ μύρων ἐπιςάτας.
πυ τρυφὰς γὰρ ἥκει δεῦρ' ἔχουσα τρωϊκάς.
ὀρέ ὥσθ' Ελλὰς αὐτῆς μικρὸν οἰκητήριον.
πυ οὐδὲν τὸ δοῦλον πρὸς τὸ μὴ δοῦλον γένος.
ὀρέ καὶ μὴν τόδ' ἔρξας, δὶς θανεῖν οὐ χάζομαι.
πυ ἀλλ' οὐδ' ἐγώ μην, σοί γε τιμωρούμενος.
ὀρέ τὸ πρᾶγμα δήλου, καὶ πέραιν' ὅπως λέγεις.
πυ εἴσι μὲν εἰς οἴκους δῆθεν ὡς θανούμενοι.
ὀρέ ἔχω τοσοῦτον. τἀπίλοιπα δ' οὐκ ἔχω.
πυ γόους πρὸς αὐτὴν θησόμεσθ', ἃ πάσχομεν.
ὀρέ ὥστ' ἐκδακρῦσαί γ' ἔνδοθεν κεχαρμένη.

καὶ νῷ

πυ καὶ νῷ παρέςαι ταῦθ', ἅπερ κείνῃ τότε,
ὀρέ ἔπειτ' ἀγῶνα πῶς ἀγωνιούμεθα;
πυ κρύπτ' ἐν πέπλοισι δ' ἕξομεν ξίφη.
ὀρέ καὶ πρόσθε δ' ὀπαδῶν τίς ὄλεθρος γενήσετε;
πυ ἐκκλείσομεν σφᾶς, ἄλλον ἄλλοσ' ἐν ςέγαις.
ὀρέ καὶ τόγε μὴ σιγῶντ' ἀκρτείνειν χρεών.
πυ εἶτ' αὐτὸ δηλοῖ τοὔργον, ἢ τείνειν χρεών.
ὀρέ Ελένην φονεύειν, μανθάνω τὸ σύμβολον.
πυ ἔγνως ἄκουσον δ' ὡς καλῶς βουλεύομαι.
εἰ μὲν γὰρ εἰς γυναῖκα σωφρονεςέραν
ξίφος μεθεῖμεν, δυσκλεὴς ἂν ἦν φόνος.
νῦν δ' ὑπὲρ ἁπάσης Ελλάδος δώσει δίκην,
ὧν πατέρας ἔκτειν', ὧν τ' ἀπώλεσε τέκνα,
νύμφας τ' ἔθηκεν ὀρφανὰς ξυναόρων.
ὀλολυγμὸς ἔςαι. πῦρ τ' ἀνάψουσι θεοῖς,
σοὶ πολλὰ κἀμοὶ κέδν' ἀρώμενοι τυχεῖν,
κακῆς γυναικὸς οὕνεχ' αἷμ' ἐπράξαμεν.
ὁ ματροφόντης δ' οὐ καλῇ ταύτην κτανών.
ἀλλ' ἀκρλιπὼν τοῦτ', ἐπὶ τὸ βέλτιον πέσῃ.
Ελένης λεγόμενος τῆς πολυκτόνου φονεύς.
οὐ δεῖ ποτ' οὐ δεῖ Μενέλεων μὲν εὐτυχεῖν,
τὸν σὸν δὲ πατέρα, καὶ σὲ, κἀδελφὴν θανεῖν,
ματέρα τ', ἐῶ. τοῦτ' οὐ γὰρ εὐπρεπὲς λέγειν,
δόμους τ' ἔχειν σοὺς, δι' Αγαμέννονος δόρυ
λαβόντα νύμφην. μὴ γὰρ οὖν ζῴην ἔτι,
εἰ μὴ 'πὶ κείνῃ φάσγανον σπάσω μέλαν.
ἢν δ' οὖν τὸν Ελένης μὴ κατάςχωμεν φόνον,
πρήσαντες οἴκους τούσδε, κατθανούμεθα.
» Ενὸς γὰρ οὐ σφαλέντες, ἕξομεν κλέος
» Καλῶς θανόντες, ἢ κακῶς σέσωσμένοι.

χο πάσαις γυναιξὶν ἀξία συγεῖν ἔφυ
ἥ Τωνδ' ἀεὶς πᾶς, ἢ κατ' ἦχνος γένος.
» Φίλ. ἐκ δ' ὧν κρεῖσσον, ἢ φίλος σαφής.
» Οὐ πλοῦτος, ὃ τυραννὶς ἀλόγιστον δέ τι
» Τὸ πλῆθος, ἀνταλλαγμα γυναῖκ' φίλα.
σὺ γὰρ τάτ' εἰς Αἴγισθον ἐξῦρες κακά,
κἀμὲ πλησίον παρόντα κινδύνων ἐμοί.
νῦν δ' ὧν δίκαιος μοι πολεμίων ἁμωσίαν,
κἀκ' ἐκπολῶ εἰ. πάσομαί σ' ἀνωφ. ἐπεὶ
» Βάρος τι κἀμοὶ τῶνδ' ὧν ἀνεῖσθαι λιαν.
ἐγὼ δὲ πάντως ἐκπνέων ψυχὴν ἐμὴν,
δράσας τι χρήζω τοὺς ἐμοὺς ἐχθροὺς θανεῖν.
ἵν' ἀνταναλώσωμεν, οἷσι περὶ δοθέν,
σφῶσι δ' οἰκτρὸν κἀμὲ ἔθηκαν ἄθλιον.
Ἀγαμέμνονός τοι πᾶς πέφυκ', ὃς Ἑλλάδι
ἠρξιωθείς. ὁ τύραννος. ἀλλ' ὅμως
ῥώμην θεὸν τιν' ἔχειν. ὀργὴ δ' ἀταμιεύω,
δίκην πράξασθαι θανάτου, ἀλλ' ἐλεύθερος
ψυχὴν ἀφήσω. Μενέλεων δὲ τίσομαι.
ἑνὸς γὰρ εἰ λάβοι μεθ', ὀλυτχοίμην ἄν,
εἰ πόθεν ἄελπτος πρᾶξις πέσοι σωτηρίας
κτανοῦσιν, ὃ θανοῦσιν. δύχομαι τάδε.
» Ὃ βούλομαι γὰρ ἡδύ, κἀμὲ δρᾷ τόμα
» Πτηνοῖσι μύθοις ἀλαπάνως τὸν ψῶ φρένας.
ἠλέ ἐγὼ κασίγνητ'; αὐτὸ τοῦτ' ἔχειν δοκῶ,
σωτηρίαν σοι, τῶνδέ τ', ἐκ πρίτου τ' ἐμοί.
ὀρέ θεὸν λέγεις πρόνοιαν. ἀλλὰ πῶς τόδε;
ἐπεὶ τὸ συνιστὸν οἶδα σὴν ψυχὴν παρόν.
ἠλέ ἀκούσι δικνῦν. κἀκ σὺ δόξον νῷν ἔχε.

λέγ', ὡς

ὀρέ λέγ'. Ὡς τὸ λέγειν ἀγαθὸν, ἔχει τιν' ἡδονήν.
ἠλέ Ἑλένης κάπιδα θυγατέρ', εἰδότ' ἠρόμην.
ὀρέ οἶδ', ἣν ἔθρεψεν Ἑρμιόνην μάτηρ ἐμή.
ἠλέ ὡς πᾶ βέβηκε πρὸς Κλυταιμνήστρας τάφους.
ὀρέ τί χρῆμα δράσασ', ὑποδυθεὶς τιν' ἐλπίδα.
ἠλέ χοὰς καταπεισόσ' ὑπὸρ μητρὸς τάφῳ
ὀρέ Ὦ μὴ τί μοι τόδ' εἶπας εἰς σωτηρίαν;
ἠλέ συλλάβεθ' ὅμηρον τήνδ', ὅταν σέ χ' πάλιν.
ὀρέ τίν' τόδ' εἶπας φάρμακον τρισσοῖς φίλοις;
ἠλέ Ἑλένης θανάσιμ', ἣν τι Μενέλεώς σε δρᾷ,
ἢ τόνδε, κἀμὲ, πᾶν γ' ὃ φίλον τόδε,
λέγ' ὡς φονεύσεις Ἑρμιόνην. ξίφῳ γὰ χρὴ
δέρη πρὸς αὐτὴν παρθένα πασάσαντ' ἔχειν.
κἄμ' μὲν σὲ σώζῃ μὴ θανεῖν χρήζον πόρῃ
Μενέλαος, Ἑλένης πᾶμ' ἐσ' ὧν γ' ἄμαχε,
μέθες πεπᾶσθαι πατρὶ παρθένα δέμας.
ἢν δ' ὀξυθύμῳ μὴ κρατῶν φρονήματος
κτείνῃ σε, κἀμὲ σὺ σφάζε παρθένα σ' ἔρως.
κἀνίκ' ἐκὼ τοπρῶτον ἢν πολὺς παρῇ,
χρόνῳ μαλάξειν ἀπλάγχνου. ὅτε γὰρ θρασὺς,
ὅτ' Ἀλκιμος πέφυκε. τήνδ' ἡμῖν ἔχω
σωτηρίας ἔπ αἴξειν. εἰρήκαμεν λόγους.
ὀρέ ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
τὸ σῶμα δ' ὢν γυναιξὶ θηλείας πρέπον,
ὡς ἀξία ζῆν μᾶλλον, ἢ θανεῖν ἔφυς.
Πυλάδη, πιάσῃς ἆρ' ἁμαρτήσῃ τάλας
γυναικός. ἢ ζῶν, μακάριον κτήσῃ λέχος
πυ εἰ γάρ γένοιτο, φωκέων δ' ἔλθοι πόλιν
καλοῖσιν ὑμεναίοισιν ἀξιωμένη
ὀρέ ἦξει δ' ἐς οἴκους Ἑρμιόνη, τίνος χρόνου;

ὡς τἄλλά γ' εἶπας, εἰ τάδ' ὀὐτυχησομὲν,
κἀλλιῶ', ἐλόντες σκύμνον ἀὐσοιν πατρός.
ἠλέ τὸ δὴ πέλας νιν δωμάτων εἶναι δοκῶ.
ⷭ γὰρ χρόνος τὸ μῆκος αὐτὸ συντρέχει.
ὀρέ καλῶς. σὺ μὲν δὴ σύγγον' Ηλέκτρα δόμων
πάρος μὴν ἔξω, παρθένος δ' ἔχε πόδα.
φύλασσε δ' ὡὔτις πρὶν τέλουπιβῇ φόνῳ,
ἢ ξύμμαχός τις, ἢ κασιγνήτης πατρός,
ἐλθὼν δ' ἐς οἴκους φθῇ, γέγωνε δ' ἐς δόμους,
ἢ σανίδας ψαίσασ', ἢ λόγους πέμψασ' ἔσω,
ἡμεῖς δ' ἔσω σείχοντες, ἐπὶ τὸν ἔρχατον
ἀγῶν' ὁπλιζόμεθα φασγάνῳ χέρας
Γυλάδη, σὺ γὰρ δὴ συμπονεῖς ἐμοὶ πόνους.
ὦ δῶμα ναίων νυκτὸς ὀρφναῖας πάτερ,
κἀλεῖ σ' Ορέστης παῖς σὸς, ἐπίκερον μολεῖν
τοῖς δεσμώτοισι. δός σε γὰρ πάσχω τάλας.
ἀδίκως προδόντ' ἔσθμιον τ' ἄνω κασιγνήτῃ σέθεν,
δίκαια πράξας. ἔθελω λάμαρθ' ἑλὼν,
κτεῖναι. σὺ δ' ἡμῖν τῶνδε συλλήπτωρ γενοῦ.
ἠλέ ὦ πάτερ, ἵκου δῆτ' εἰ κλύεις εἴσω χθονός,
τέκνων καλοῦντων, οἰόθεν θνήσκουσ' ὕπερ.
πυ ὦ συγγένεια πατρὸς ἐμοῦ, καὶ ἐμᾶς λιτᾶς
Αγάμεμνον, εἰσάκουσον. ἔκσωσον τέκνα.
ὀρέ ἔκτεινα μητέρα. Π. ἤνθάμην δ' ἐγὼ ζίφους.
ἠλέ ἐγὼ δὲ ἐπεβόλουσα, κἀπέλυσ' ὄκνου.
ὀρέ σοὶ πάτερ ἀρήγων. .Η. ὀδ' ἐγὼ προδόλωκά σε
πυ δίκην ὀνείδη τάδε κλύων. ῥῦσαι τέκνα.
ὀρέ δακρύοις κατακαμφθέντα σε.
ἠλέ ἐγὼ δ' οἰκτροῖσί γε.
πυ παύσασθε, καὶ πῶς ἔργον ἐξορμώμεθα.

εἴπερ

εἴπερ γὰρ εἴσω γῆς ἀκουτίζουσ' ἀρὰι,
κλύει. σὺ δ' ὦ Ζεῦ πρόγονε, καὶ δίκης σέβας,
δός τ' ὀὐτυχῆσαι τῶνδ', ἐμοίτε, τῇ δ' ἐμοί.
τρισσοῖς φίλοις γὰρ εἷς ἀγὼν, δίκη μία.
ἢ ζῆν ἅπασιν, ἢ θανεῖν ὀφείλετε.
ἠλέ Μυκηνίδες ὦ φίλαι
τὰ πρῶτα ἡμῖν πελασγὸν ἔδος Αργείων.
χο τίνα θροεῖς αὐδὰν πότνια; πάραμυθεῖ
γὼ' ἔπι σοι τόδ' ἐν Λακαινίδων πόλει.
ἠλέ σῶν δὲ μὴν ὑμῶν, τίνα δ' ἁμαξήρη τρίβον.
αἴσθ' ἐνθάδ' ἄλλον ὄιμον, ἐς φρενὰν δόμων.
χο τί δέμοι τόδε χρέος ἀπύεις;
ἐννέπε μοι φίλα.
ἠλέ φόβος ἔχει με μή τις ἐπὶ δώμασι
σταθεὶς ἐπὶ φόνιον αἷμα,
πήματα πήμασιν ἐξδύρῃ.
ἡμ χωρεῖτ', ἐπειγόμεθ'. ἐγὼ μὲν ὃν τρίβον
τίνδ' ἐφυλάξω, τὴν πῶς ἤλιτε βολάς.
ἡμ ⷭ μὴν ἐγὼ τίνδ', ἢ πῶς ἑτέραν φέρει.
ἠλέ δύχμια νῦν ὡράς διάφερε ὀμμάτων
ἐκεῖθεν, ἐνθάδ'. εἶτ' ἀπ' ἄλλων σκοπέν.
χο ἔχομεν ὡς θροεῖς. .Η. ἐλίσσετε νῦν ἐλέφαρον,
ὡραισι δίδυτε δρᾶ βοσκύχων πάντη.
ἡμ ὅδ' ἔτις ἐν τρίβῳ πρωσέρχεται. τίς ὅδ' ἀρ'
ἀμφὶ μέλαθρον πολεῖ σὸν ἀγρότας ἀνήρ;
ἠλέ ἀπωλόμεθ' ἄρ' ὦ φίλαι, κεκρυμμένοι
θῆρας ξιφήρεις αὐτίκ' ἐχθροῖς ἢν φανῇ.
ἡμ ἄφοβος ἔχε. κενὸς γὰρ ὦ φίλα
σίβος, ὃν σὺ δοκεῖς
ἠλέ τί δ', ὃ σὸν βέβαιον ἔτι μοι μένει;
σὸς ἀγγελίαν ἀγαθὰν τινά μοι,

εἰ τάδ' ἔρημα τὰ πρόσθ' αὐλᾶν.
ἡμι ταγ' ἔνθεν, ἀλλὰ τἀπίσω σκόπει,
ὡς οὔτις ἡμῖν Δαναϊδῶν πελάζεται.
ἡμι εἰς ταυτὸν ἥκεις καὶ γὰρ οὐδὲ τῇδε ὄχλος.
ἠλέ φέρε νῦν ἐν πύλαισιν ἀκοὰν βάλω.
τί μέλλεθ' οἱ κατ' οἶκον ἐν ἡσυχίᾳ
σφάγια φοινίσσειν;
οὐκ εἰσακούουσιν. ὢ τάλαιν' ἐγὼ κακῶν.
ἆρ' εἰς τὸ κάλλος ἐκκεκώφωτο ξίφη;
τάχα τις Αργείων ἔνοπλος ὁρμήσας,
ποδὶ βοηδρόμῳ μέλαθρα προσμίζει.
σκέψασθαι νῦν ἄμεινον. οὐχ ἕδρας ἀγών.
ἀλλ' αἱ μὲν, ἐνθάδ', αἵδ' ἐκεῖσ' ἑλίσσετε.
χο ἀμείβομεν κέλευθον σκοποῦσαι πάντῃ.
ἑλέ ἰὼ πελασγὸν Αργος, ὄλλυμαι κακῶς.
ἠλέ ἠκούσατ'; ἄνδρες χεῖρ' ἔχουσιν ἐν φόνῳ.
Ελένης τὸ κώκυμ' ἐστὶν, ὡς ἀπεικάσαι.
ἡμι ὦ Διὸς ὦ Διὸς ἀένναον κράτος,
ἔλθ' ἐπίκουρον ἐμοῖς φίλοισι πάντως.
ἑλέ Μενέλαε, θνήσκω. σὺ δὲ παρών μ' οὐκ ὠφελεῖς.
ἠλέ φονεύετε. καίνετε. θείνετε. ὄλλυτε.
δίπτυχα, δίστομα φάσγανα πέμπετε,
ἐκ χειρὸς ἱέμενοι τὰν
λειποπάτορα, λειπόγαμον. ἃ πλείστους
ἔκτανεν Ελλάνων
δορὶ παρὰ ποταμὸν ὀλλυμένους,
ὅθι δάκρυα δάκρυσιν
ἔπεσε σιδαρέοισι βέλεσιν
ἀμφὶ τὰς Σκαμάνδρου δίνας.
χό σιγᾶτε, σιγᾶτ'. ἠσθόμην κτύπου τινὸς

κέλευθον,

κέλευθον, εἰσπεσσόντος ἀμφὶ δώματα.
ἠλέ ὦ φίλταται γυναῖκες, εἰς μέσον φόνον
ἥδ' Ερμιόονη πάρεστι. πάνσωμεν βοήν.
στείχει γὰρ εἰσπεσοῦσα δικτύων βρόχους.
καλὸν τὸ θήραμ' ἢν ἁλῷ, γενήσεται.
πάλιν κατάστηθ' ἡσύχῳ μὲν ὄμματι,
χροιᾷ τ' ἀδήλῳ τῶν δεδραγμένων ὕπερ.
κἀγὼ σκυθρωπὸς ὀμμάτων ἔξω κόρας,
ὡς δῆθεν οὐκ εἰδυῖα τἀξειργασμένα.
ὦ παρθέν', ἥκεις τὸν Κλυται μνήστρας τάφον
στέψασα, καὶ σπείσασα νερτέροις χοάς;
ἑρ ἥκω, λαβοῦσα πρευμένειαν. ἀλλά με
φόβος τις εἰσελήλυθ', ἥντιν' ἐν δόμοις
τηλουρὸς οὖσα δωμάτων, κλύω βοήν.
ἠλέ τίδ' ἄξι' ἡμῖν τυγχάνει στεναγμάτων;
ἑρ εὔφημος ἴσθι τί δὲ νεώτερον λέγεις;
ἠλέ θανεῖν Ορέστην κἄμ' ἔδοξε τῇδε γῇ.
ἑρ μὴ δῆτ' ἐμούσγε συγενεῖς πεφυκότας.
ἠλέ ἄραρεν. ἀνάγκης δ' εἰς ζυγὸν καθέσταμεν.
ἑρ ἦ τοῦδ' ἕκατι καὶ βοὴ κατ' στέγας;
ἠλέ ἱκέτης γὰρ Ελένης γόνασι προσπεσὼν βοᾷ.
ἑρ τίς; οὐ γὰρ οἶδα μᾶλλον ἢν σὺ μὴ λέγῃς.
ἠλέ τλήμων Ορέστης μὴ θανεῖν, ἐμοῦ θ' ὕπερ.
ἑρ ἐπ' ἀξίοισί τ' ἄρ' ἀνευφημεῖ δόμος.
ἠλέ πρὸς τοῦ, γὰρ ἄλλου μᾶλλον ἂν φθέγξαι τό τις;
ἀλλ' ἐλθὲ καὶ μέτασχε ἱκεσίας φίλοις,
σῇ ματρὶ προσπεσοῦσα τῇ μέγ' ὀλβίᾳ,
Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν.
ἀλλ' ὦ τραφεῖσα ματρὸς ἐν χεροῖν ἐμῆς,
οἰκτεῖρον ἡμᾶς, κἀποκούφισον κακῶν.

ἰθ' εἰς

ἴθ' εἰς ἀγῶνα σὸν ξύ. ἐγὼ σ' ἀγήσομαι.
σωτηρίας γὰρ τέρμ' ἔχεις ἡμῖν μόνη.
ΟΡ ἰδού δίδωκα τὴν ἐμὴν εἰς δόμους πόδα.
σωθεὶς δ' ὅσονγε τὸ π' ἐμοί. .Η. ὦ κατὰ στέγας
φίλοι ξιφήρεις, οὐχὶ συλλήψεσθ' ἅμα;
ΟΡ οἵ' ἐγὼ. τίνας τόσσδ' εἰσορῶ; .Ο. σιγᾶν χρεών.
ἡμῖν γὰρ ἥκεις, οὐχὶ σοὶ σωτηρία.
ΧΟ ἐχεσθ', ἐχεσθε. φάσγανον δὲ πῶς σ' ἔρῳ
βαλόντες, ἥσυχάζεθ', ὡς ἰσλῇ τόδε
Μενέλαος, ἔνεκ' ἀνδρὸς, ὃ φύγας κακὸς
εὑρὼν, ἔπραξεν ὅσια χρὴ πράσσειν κακός.
ἰὼ ἰὼ φίλαι, κτύπον ἐγείρετε, κτύπον δὸς βοᾶν
πρὸς μελάθρων ὅπως ὁ πραχθεὶς φόνος,
μηδεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
βοηδρομῆσαι πρὸς δόμους τυραννικούς,
πρὶν ἂν ἐτύμως ἴσ' ὧν τὸν Ἑλένας φόνον
καθαιμακτὸν ἐν δόμοισι κείμενον.
ἦ κἀμὲ λόγων τὰ προσπόλων πυθώμεθα.
τὰς μὲν, γὰρ ὄισθα συμφορὰς, τάσσ' ὁ σαφὴς.
ΧΟ σοὶ δῆτας ἐκβαίνω νέμεσις εἰς Ἑλένην.
σ' ἀπηύρισεν γὰρ Ἑλλάσ' ἅπασαν ἔπλησε
σοῖ τὸν ὁλόμενον ἰσ' ἄταν
πάρεστ', ὡς ἄγαν' Ἑλλὰς σ' εἰς Ἴλιον.
ἐλπὰ, κτυπεῖ γὰρ κλεῖθρα βασιλείων δόμων,
σιγήσατ', ἔξω γάρ τις ἐκβαίνει φρυγῶν,
ὃ πθυσόμεθα τῶν δόμοις ἔχει.
ΦΡ ἄργεῖον ξίφος ἐκ θανάτου πέφυγε
βαρβάροις ἐν δύμαεῖσι,
μεσῤῥωτὰ πασάλων ὑπερτέρεμνα,
δωρεικὰς τετριγλύφας.

φρύδια

φρύδια φρύδια γᾶ γᾶ
βαρβάροι, θρασμοῖς
ἀέ. ἀέ. πᾷ φύγω ξύναι,
πολιὸν ἀιθέρ' ἀμπτάμενος,
ἢ πόντου, Ὠκεανὸς ὃν
πωρόκραν' ἀγκάλαις
ἑλίσσων κυκλεῖ χθόνα;
ΧΟ τίσ' ἔδ' Ἑλένης πρόσπολ', ἰσ' ἄϊον ἡδρας;
ΦΡ Ἰλιον, Ἰλιον, ὤ μοι μοι,
φρύγιον ἄστυ, καλλίθωλον
ἴδας ὄρος ἱερόν, ὡς σ' ὀλόμενον στένω.
ἄρμάτειον ἁρμάτειον μέλος
βαρβάρῳ βοᾷ,
σὰ τὸ τᾶς ὀρνιθογόνου ὄμμα
κυκνόπτερον, καλλοσύνας λήσ' σκύμνος
σὺν ἑλίσσας, ξεσῶν πόργάμων Ἀπόλ
λωνίων Ἑρμιονῦν. ὀτοτοί.
ἰαλέμων ἰαλέμων Δαρδανία τλάμων
Γανυμήδεος ἱππόσυνα Διὸς σύνευνα.
ΧΟ σαφῶς λέγ' ἡμῖν αὖθ' ἕκαστα τὰν δόμοις.
ΦΡ τὰ γὰ πρὶν ἐκ σύγγνωστα συμβαλοῦσ' ἔχω.
ἄλινον ἄλινον ἀρχαὶ θανάτου
βάρβαροι λέγουσιν αἱ αἱ
ἀσιάδι φωνᾷ, βασιλέως
ὅταν αἷμα χυθῇ πρὸ γᾶς
ξίφεσι σιδαρέοισιν αἴσσῃ.
ἦλθον εἰς δόμους, ἵν' αὖθ' ἕκαστά σοι λέγω.
λέοντες Ἕλλανες δύω δισσύμω,
ζητοῦ μὲν, ὃ στρατηλάτας πατὴρ ἐκλήιζετο.
ὃ ὄλβιος, πᾶς Στροφίου καυχήματος ἀνὴρ,

ὅτις

οἷος Ὀδυσσεὺς, σιγᾷ δόλιος,
πιστὸς δὲ φίλοις, θρασὺς εἰς ἀλκὰν,
ξυνετὸς πολέμου, φόνιός τε δράκων.
ἔῤῥοι τᾶς ἡσύχου προνοίας κακοῦργος ὤν.
οἶδε, πῶς θρόνους ἔσω μολόντες,
ἃς ἔγη μ' ὁ τοξότας Γάρις
γυναικὸς ὄμμα δακρύοις
πεφυρμένοι, ταπεινοὶ
ἕζονθ' ὁ μὲν, τὸ κεῖθεν, ὁδὲ, τὸ κεῖθεν,
ἄλλος ἄλλοθεν πεφραγμένοι.
πολὺ δὴ γόνυ χεῖρας ἱκέσιος
ἔβαλλον ἔβαλλον Ἑλένας ἄμφω.
ἀνὰ δὲ δρομάδες ἔθορον ἔθορον
ἀμφίπολοι φρύγες.
προσεῖπε δ' ἄλλος ἄλλον
πεσὼν ἐν φόβῳ,
μή τις εἴη δόλος.
κἀδόκει τοῖς μὲν, οὔ.
τοῖσδ' ἀρκυστάταν
μηχαὰν ἐμπλέκειν
παῖδα Τυνδαρίδ' ὁμητροφόντας δράκων.
χο σὺ δ' ἦσθα πῦ τότ'; ἢ πάλαι φεύγεις φόβῳ;
φρ φρυγίοις ἔτυχον φρυγίοισι νόμοις
πρὰ Βόστρυχον αὖραν αὖραν
Ἑλένας Ἑλένας εὐπαγεῖ κύκλῳ
πτερίνῳ πῶ πρηΐδος ἀΐσσων
βαρβάροισι νόμοισιν.
ἁδὲ, λῖνον ἠλακάτᾳ δακτύλοις ἕλισσεν.
νήματα δ' ἵετο πέδῳ,
σκύλων φρυγίων ἐπὶ τύμβον ἀγάλματα,

συστολῆσαι χρήζουσα λίνῳ
φάρεα πορφύρεα,
δῶρα Κλυταιμνήστρᾳ.
προσεῖπε δ' Ὀρέστας
λάκαιναν κόραν. ὦ Διὸς παῖ,
θὲς ἴχνος πέδῳ δεῦρ' ἀρστᾶσα κλισμοῦ,
Γέλοπος ἐπὶ πρόπατορος ἕδραν παλαιᾶς
ἑστίας, ἵν' εἰδῇς λόγους ἐμούς.
ἄγει δ' ἄγει νιν. ἅδ' ἐφείπετο
οὐ πρόμαντις ὧν ἔμελλεν.
ὁδὲ συνεργὸς, ἀλλ' ἔπρασσ' ἰὼν κακὸς φωκεύς.
οὐκ ἐκποδὼν ἴτ', ἀλλ' κακοὶ φρύγες;
ἐκλήϊσε δ' ἄλλον ἄλλοσε
στέγης. τοὺς μὲν, ἐν σταθμοῖσιν
ἱππικοῖς, τούσδ' ἐν ἕδραισι,
τούσδ' ἐκεῖσε κεῖθεν, ἄλλον ἄλλοσε
διαρμόσας ἀπόπρο δεσποίνας.
χο τί τοὐπὶ τῷδε συμφρᾶς ἐγίνετο;
φρ ἰδαῖα μᾶτερ μᾶτερ ὀβρίμα, ὀβρίμα, αἶ αἶ
φονίων παθέων, ἀνόμων, τε κακῶν, ἅπερ ἔδρα-
ἔδρακον ἐν δόμοις τυράννων, (κον
ἀμφὶ πορφυρέων πέπλων ὑπὸ σκότου
ξίφη σπάσαντες ἐν χεροῖν, ἄλλος ἄλλοσε
δίνασεν ὄμμα, μή τις παρὼν τύχοι.
ὡς κάπροι δ' ὀρέστεροι
γυναικὰς ἀντίοι σταθέντες,
ἐννέπουσι κατθανῇ, κατθανῇ.
κακὸς σ' ἀρκτείνει πόσις,
κασιγνήτου προδοὺς ἐν Αργει θανεῖν γόνον.
ἅδ' ἴαχεν ὤμοι μοι.

λδυκὸν ἐμβαλοῦσα πῆχυν στέρνοις
κτύπησε κρᾶτα μέλεον πλαγάν.
φυγᾷ δὲ πολὶ τὸ χρυσεοστόνδαλον ἴχνος
ἔφερεν. ἐς νώμας δὲ δακτύλας
δικὼν Ορέστας, μυκηνίδ' ἀρβύλαν προβάς,
ὤμοις ἀειστεροῖσιν ἀνακλάσας δέρην,
χο παίειν λαιμῶν ἔμελλεν εἴσω μέλαν ξίφος.
φρ πῶς δ' ἦτ' ἀμύνειν οἱ ἡ[illegible]στέγας φρύγες;
ἰαχᾷ δόμων θύρετρα καὶ σταθμὸς
μοχλοῖσιν ἐκβαλόντες, ὧν θ' ἑμίμνομεν,
βοηδρομοῦμεν ἄλλος ἄλλοθεν στέγης.
ὁ μὲν, πέτρος. ὃδ' ἀγκύλας,
ὁδὲ, ξίφος πρόκωπον ὧν χεροῖν ἔχων.
ὧνακτα δ' ἦλθε Πυλάδης ἀλίασος,
ὅιος ὅιος Εκτωρ ὁ φρύγιος, ἢ τριπόρυβος Αἴας.
ὃν εἰσορῶν δὴ ὧν πύλαισι πριαμίσι.
φασγάνων δ' ἀκμὰς συνήψαμεν.
τότε δὴ τότε δι' ἀπρεπεῖς
ἐγένοντο φρύγες. ὅσον Αρεος ἀλκαὶ
νόσονες Ελλάδος ἐγχώμεθ' ἀεχμᾶς.
ὁ μὲν, οἰχόμενος φυγᾶς. ὁδὲ, νέκυς ὤν.
ὁδὲ, τραῦμα φέρων. ὁ δὲ λιοσόμενος
θανάτῳ πρόβολον. τοῦτο σκότου γ' ἐφθύγομεν.
νεκροὶ δ' ἔπιπτον. ὧδ' ἔμελλον. ὧδ' ἔκειντ'.
ἔμολε δ' ἡ πάλαιν Ερμιόνα δόμους
ἐπὶ φόνῳ χαμαιπετεῖ μαζὸς, ἃ νιν ἔτεκε τλάμων.
ἄθυρσοι δ' ὅιά νιν δραμόντες Βάκχαι,
σκύμνον ὧν χεροῖν ξυνήρπαζαν.
πάλιν δὲ τὰν Διὸς κόραν ἐπὶ σφαγὰν ἔτεινον.
ὧδ' ἐκ θαλάμων ἐγένετο δὴ πρὸ δόμων

ἄφαντος.

ἔφαντος, ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς, καὶ νύξ,
ἦ τοι φαρμάκοισιν, ἢ μάγων τέχναις, ἢ θεῶν κλο-
πὰς δ' ὑσόρου δόκησ' ὅσια. δραπέτης γὰρ ἐ (πᾶις.
ξέκλεπτον ἐκ δόμων πόδα.
πολύπονα δὲ πολύπονα πάθεα
Μενέλαος ἀναχόμενος, ἀόνητον ἀπὸ Τροίας
ἔλαβε τὴν Ελένας γάμον.
χο Ὦ μὴν ἀμείβει καινὸν ἐκ καινῶν τόδε.
ξιφηφόρον γὼ εἰσορῶ πῶς δωμάτων
βαίνοντ' Ορέστην ἐπὶ σοὶ μολόντα ποδί.
ὀρέ πῶς εἶν ὄρος, ὃς ὠφύγην ἐκ δόμων τὸ μὸν ξίφος;
φρ προσκυνῶσ' ἄναξ, νόμοισι Βαρβάροισι προσ-πε-
ὀρέ ὀκ ὧν Ιλίῳ τάδ' ἔξιν, ἀλλ' ὧν Αργείᾳ χθονί. (σών.
φρ Γαῖαχδ' ἴσθι μᾶλλον ἢ δοκεῖν μᾶλλον, ἢ θανεῖν τοις σώφροσιν.
ὀρέ ἔστι πῶς πραυγλωσσεῖν ἐθέλεις Μενέλεω βοηδρομεῖν;
φρ σοὶ μὲν ὄν ἐγω' ἀμύνειν. ἀξιώτερος γὰρ εἶ.
ὀρέ ὧν δίκως ἢ Τυνδάρεως ἆρα πᾶις δίωλεν;
φρ ὧν δικώτατ', εἴγε λαιμὸς εἶχε τριπτύχους θανεῖν.
ὀρέ δειλίᾳ γλώσσῃ χαρίζῃ, τῶνδον ὄχ ὅτω φρονῶν.
φρ ὅ γ', ἥτις Ελλάδ' αὐτοῖς φρυξὶ δυελυμήνατο;
ὀρέ ὄμοσον. εἰ ἦ μὴ, κτενῶ σε, μὴ λέγειν ἐμὴν χάριν.
φρ τὴν ἐμὴν ψυχὴν κατώμοσ', ἣν ἂν δύοιτο μ' ἐγώ.
ὀρέ ὦδε κἄν Τροίᾳ σὺν ὅπλοις πᾶσι φρυξὶν ἦν φόβος;
φρ ἄπεχε φάσταν). πέλας γὼ δεινὸν αὐδᾶσαι φόνον
ὀρέ μὴ πέτρος γένῃ δίδυμος, ὡς τε Γοργὼ εἰσιδών;
φρ μὴ δῆτ' νεκρός. τὸ Γοργὸς δ' ὄνομ' ἐγὼ κάρα.
ὀρέ δῆλος ὧν φοβῇ τὸν ἄνδρα, ὃς σ' ἀπαλλάξει κακῶν.
φρ Γᾶς ἀνὴρ κἄν δῆλος ἦ τις, ἥδεται τὸ φῶς ὁρῶν.
ὀρέ σὺ λέγεις. σώζει σε σύνεσις ἀλλὰ βᾶν' εἴσω δό-
φρ ὀκ ἄρα κτενεῖς με; ὀρ. ἀφεῖσα. (μων

φρ καλὸν ἔπος λέγεις τόδε.
ὀρέ ἀλλὰ μεταβουλευσόμεσθα.
φρ τοῦτο δ' οὐ καλῶς λέγεις.
ὀρέ μῶρος, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην
οὔτε γὰρ γυνὴ πέφυκας οὔτ' ἐν ἀνδράσι σύγ' εἶ.
τοῦ, δ' μὴ στῆσαί σε κραυγὴν, οὕνεκ' ἐξῆλθον δόμων.
ὀξὺ γὰρ βοῆς ἀκοῦσαν Αργος ἐξεγείρεται.
Μενέλεων δ' οὐ τάρβος ἡμῖν ἀναλαβεῖν εἴσω ξίφους.
ἀλλ' ἴτω ξανθοῖς ἐπ' ὤμων βοστρύχοις γαυρούμενος.
εἰ γὰρ Αργείους ἐπάξει τοῖσδε δώμασι λαβὼν,
τὸν Ελένης φόνον διώκων, κἀμὲ μὴ σώζειν θέλει,
σύγγονόν τ' ἐμὴν, Πυλάδην τε
τὸν τάδε σύνδρωντά μοι,
παρθένοντε, καὶ δάμαρτα, δύω νεκρὼ κατόψετ'.
χο ἰὼ ἰὼ τύχα. ἕτερον εἰς ἀγῶν' ἕτερον αὖ
δόμος φοβερὸν ἀμφὶ τοὺς Ατρείδας πιτνεῖ.
ἡμι τί δρῶμεν; ἀγγέλλωμεν εἰς πόλιν τάδε,
ἢ σίγ' ἔχωμεν ἀσφαλέστερον φίλαι;
ἡμι ἴδε πρὸ δωμάτων, ἴδε προκηρύσσει
θοάζων ὅδ' αἰθέρος ἄνω καπνός.
χό ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους
τοὺς τανταλείους, οὐδ' ἀφίστανται φόνου.
τέλος ἔχει δαίμων βροτοῖσι τέλος ὅπᾳ θέλει.
μεγάλα δέ τις ἁ δύναμις δι' ἀλαστόρων
ἔπαισεν ἔπαισε μέλαθρα τάδε δι' αἱμάτων,
διὰ τὸ Μυρτίλου πέσημ' ἐκ δίφρου.
χο ἀλλὰ μὴν κὴ τόνδε λεύσω Μενέλεων δόμων πέλας
ὀξύπουν, ἠσθημένον που τῆς τύχην, ἢ νῦν πάρα.
ἠλέ οὐ κέτ' ἂν φθάνοιτε κλεῖθρα σύμπεραίνοντες μο-
» ὦ κατὰ στέγας Ατρεῖδαι, Δεινὸν εὐτυχῶν ἀνὴρ (χλοῖς

» Πρὸς κακῶς πράσσοντας, ὡς σὺ νῦν Ορέστα δυστυ-
με ἥκω κλύων τὰ δεινὰ, καὶ δραστήρια (χεῖς.
δισσοῖν λεόντοιν. οὐ γὰρ ἄνδρ' αὐτὼ καλῶ.
ἤκουσα γὰρ δὴ τὴν ἐμὴν ξυνάορον
ὡς οὐ τέθνηκεν, ἀλλ' ἄφαντος οἴχεται,
κεινὴν ἀκούσας βάξιν. ἣν φόβῳ σφαλεὶς
ἤγγειλέ μοι τις. ἀλλὰ τοῦ μητροκτόνου
τεχνάσματ' ἐστὶ ταῦτα, καὶ πολὺς γέλως.
ἀνοιγέτω τις. δῶμα προσπόλοις λέγω
ὠθεῖν πύλας τάσδ', ὡς ἂν ἀλλὰ παῖδ' ἐμὴν
ῥυσώμεθ' ἀνδρῶν ἐκ χερῶν μιαιφόνων,
καὶ τὴν τάλαιναν ἀθλίαν δάμαρτ' ἐμὴν
λάβωμεν, ἣ δεῖ ξυνθανεῖν ἐμῇ χερὶ
τοὺς διολέσαντας τὴν ἐμὴν ξυνάορον.
ὀρέ οὗτος, σὺ κλείθρων τῶνδε μὴ ψαύσῃς χεροῖν.
Μενέλαον εἶπον, ὃς πεπύργωσαι θράσει.
ἢ τῷδε θριγκῷ κρᾶτα συνθράνσω σέθεν
ῥήξας παλαιὰ γεῖσσα, τεκτόνων πόνον.
μοχλοῖς δ' ἄραρε κλεῖθρα σῆς βοηδρόμου
σπουδῆς ἃ σ' εἴρξει μὴ δόμων εἴσω περᾶν.
με ἔα, τί χρῆμα λαμπάδων ὁρῶ σέλας,
δόμων δ' ἐπ' ἄκρων τοῦσδε πυργηρουμένους,
ξίφος δ' ἐμῆς θυγατρὸς ἐπίφρουρον δέρῃ;
ὀρέ πότερον ἐρωτᾷν, ἢ κλύειν ἐμοῦ θέλεις;
με οὐδέτερον, ἀνάγκη δ' ὡς ἔοικέ σου κλύειν.
ὀρέ μέλλω κτανεῖν σου θυγατέρ', εἰ βούλει μαθεῖν.
με Ελένην φονεύσας ἐπὶ φόνῳ πράσσεις φόνον;
ὀρέ εἰ γὰρ κατέσχον μὴ θεῶν κλεφθεὶς ὕπο.
με ἀρνῇ κατακτὰς, κἀφ' ὕβρει λέγεις τάδε;
ὀρέ λυπράνγε τὴν ἄρνησιν. εἰ γὰρ ὤφελον.

με τί χρῆμα δρᾶσαι; πῶς καλεῖς γὰρ εἰς φόβον.
ορέ τὴν Ἑλλάδ' ὅς μάσορ' εἰς ἅδ' ἔβαλεῖν.
με ἀπόδος ἁμάρτος νέκυν, ὅπως χώσω τάφῳ.
ορέ θεὸς ἀπαίτει παῖδα δ' ἔκτανῶ σέθεν.
με ὁμοτροπόντης ἐπὶ φόνῳ πράσσει φόνον.
ορέ ὁ πατρὸς ἀμύντωρ, ὃν σὺ πρόδ' ὦκας θανεῖν.
με ὄκ ἤρκυσέ σοι τὸ πάρον αἷμα ματέρ⊙;
ορέ Οὐκ ἀν κάμοιμι τὰς κακὰς κτείνων ἀεί.
με ἦ ⊂ σὺ Πυλάδ' ἦ τόδε κοινωνεῖς φόνου;
ορέ φησὶ σιωπῶν ἀρκέσω δ' ἐγω λέγων.
με ἀλλ' ὕπτ' χείρων, ὦ γε μὴ φύγῃς πέροῖς.
ορέ δ' φυξόμεθα, πυεί δ' ἀνάφομεν δόμους.
με ἦ γὰρ πατρῷον δῶμα πορθήσεις τόδ' ε;
ορέ ὡς μήτ' ἔχῃς σὺ τήνδ' ἐπισφάξας πυεί.
με κτεῖν'. ὡς κτανών γε, τῶν δέ μοι δώσεις δίκην.
ορέ ἔσαι τάδ' ε .Μ. ἆ. ἆ μήδ' αμῶς δράσεις τάδ' ε.
ορέ σίγα νῦν ἀνέχου δ' ὡδίκως πράσσων κακῶς.
με ἦ γὰρ δίκαιον ζῆν σε; .Ο. κἀκ κρατεῖν γε γῆς.
με πόιας; .Ο. ὧν Ἄργει τῷδε ⟨ῷ⟩ πελασγικῷ.
με εὖγ' ὄρ βίγοις ἀν χθονίοις; .Ο. τί γὰρ ὄ;
με κἀμὰ σφάγια πρὸ δόρος καταβάλοις;
ορέ σὺ δ' ἂν καλῶς;
με ἁγνὸς γάρ εἰμι χέρας. Ο. ἀλλ' ὁ τὰς φρῆνας.
με τίς δ' ἂν πόσειποι σ'; Ο. ὅστις ὅδι φιλοπάτωρ.
με ὅστις δὲ τιμᾷ μητέρ'; Ο. δύσ' αἴμων ἔφυ.
με ὄκουν σύγε.. Ο. ὀ γὰρ ἀνδάνσιν ἃ κακά.
με ἄπαιρε θυγατρὸς φάσγανον. Ο. ψυδ' ἦς ἔφυς.
με ἀλλὰ κτανεῖς μὲ θυγατέρ'; Ο. ὀ ψυδὴς ἔτ' εἶ.
με οἵ μοι, τί δράσω; Ο. πεῖδ' ἐς Ἀργείους μολών.
με πείθω τίνα; Ο. ἡμᾶς μὴ κτανεῖν αὐτὸ πόλιν.

ἦ παῖδ' ἀ

με ἦ παῖδ' ἀ μὲ φονεύσετε; .Ο. ὦδ' ἔχει τάδ' ε
με ὦ τλήμων Ἑλένη. Ο. τἀμὰ δ' οὐ τλήμονα;
με σοὶ σφάγιον ἐκόμισ' ἐκ Φρυγῶν; Ο. εἰ γὼ τόδ' ἦν.
με πόνος πονήσας μύελος; Ο. πλήν γ' ἐς ἐμέ.
με πέπονθα δεινά. Ο. τότε γὰρ ἦδ' ἀνωφελής.
με ἔχεις με. .Ο. σαυτὸν σύγ' ἔλαβες κακὸς κακῶς.
ἀλλ' εἶ', ὕφαπτε δώματ' Ἠλέκτρα τάδε.
σύ τ' ὦ φίλων μοι τῶν ἐμῶν ⟨ἀ⟩φέστατε
Πυλάδη, κάταιβε γεῖσα τέχε⊙ τάδε.
με ὦ γαῖα Λαναῶν, ἱππίου τ' Ἄργους κτίται,
ὄκου γ' ὡόπλων πόλι βοηδρομήσετε;
πᾶζαν γὰρ ἡμῶν ὅδε βιάζεται πόλιν
ζῆν, αἷμα ματρὸς μυσαρὸν ἐξεργασμένος
ἀπ Μενέλαε, παῦσε λῃ μ' ἔχων τεθνηκότα.
Φοίβος σ' ὁ Λητὸς παῖς ὅδ' ἐγχὺς ὢν, καλῶ.
σύ θ', ὃς ξιφήρης πῖσ' ἐφεδρεύεις πόρῳ
Ὀρέστ', ἵν' εἰδῇς ὃς φέρων ἥκω λόγους.
Ἐλθὼν μὲν, ὦ σὺ δισταλέσαι πρόθυμος ὤν,
ἡμάρτες ὀργῶν Μενέλεῳ ποιούμενο⊙,
ἦδ' ἄδικ', ὦ σὺ ἐρᾶτ' ὢν αὐθέρος πῦχαῖς.
σεσωσμένη τε, κἀ θανοῦσα πῶς σέθεν.
ἐγώ νιν ἐξέσωσα, κἀπὸ φασγάνου
τοῦ σοῦ κελευθοῦς ἥρπασ' ἐκ Διὸς πατρός.
Ζῶσ' γὰρ ἔσαν, ζῆν νιν ἄφθιτον χρεών.
Κάστορί τε, Πολυδεύκει τ' ὢν αὐθέρος πῦχαῖς
σύνθακος ἔσαι, ναυτίλοις σωτήρι⊙.
ἄλλῳ δ' νύμφῳ εἰς δόμους κτῆσαι λαβών.
ἐπεὶ θεοὶ ⟨ῷ⟩ πῖσ' ἐκολλίσευμαι,
Ἕλληνας εἰς ὧν κἀφύγας συνάγαγον,
θανάτους τ' ἐθηκαν ὡς ἀπαντλοίην χθονὸς

ὕβρισμα θνητῶν, ἀφθόνου πληρώματος.
τὰ μὲν καθ' Ἑλένην. ὧδ' ἔχει. σὲ δ' αὖ χρεὼν
Ὀρέστα, γαίας τῆσδ' ὑπερβαλόνθ' ὅρους,
Παῤῥάσιον οἰκεῖν διάπεδον ἐνιαυτοῦ κύκλον.
κεκλήσεται δὲ σῆς φυγῆς ἐπώνυμον,
Αζάσιν, Αρκάσιν, τ' Ὀρέστειον καλεῖν.
ἐνθέν δὲ τ' ἐλθὼν τὴν Αθηναίων πόλιν,
δίκην ὑπόσχες αἵματος μητροκτόνου,
εὐμενίσι τρισσαῖς. θεοὶ δέ σοι δίκης βραβεῖς
Πάγοισιν ἐν ἀρείοισιν εὐσεβεστάτην
ψῆφον διοίσουσ', ἔνθα νικῆσαί σε χρή.
ἐφ' ἧς δ' ἔχεις Ὀρέστα φάσγανον δέρη,
γῆμαι πέπρωταί σ' Ἑρμιόνην. ὃς δ' οἴεται
Νεοπτόλεμος γαμεῖ νιν, οὐ γαμεῖ ποτε.
θανεῖν γὰρ αὐτῷ μοῖρα δελφικῷ ξίφει,
δίκας Αχιλλέως πατρὸς ἐξαιτοῦντί με.
Πυλάδῃ δ' ἀδελφῆς λέκτρον, ᾧ ποτ' ἤνεσας.
δός. ὁ δ' ἐπιὼν νιν βίοτος εὐδαίμων μενεῖ.
Αργοῦς δ' Ὀρέστην Μενέλεως ἔα κρατεῖν.
ἐλθὼν δ' ἄνασσε Σπαρτιάτιδος χθονός,
φερνὰς ἔχων δάμαρτος, ἥ σε μυρίοις
πόνοις διδοῦσα, δεῦρ' ἀεὶ διήνυσε.
τὰ πρὸς πόλιν δὲ τῷδ' ἐγὼ θήσω καλῶς,
ὃς νιν φονεῦσαι μητέρ' ἠξηνάγκασα.
ὀρέ ὦ Λοξία μαντεῖε σῶν θεσπισμάτων,
οὐ ψευδόμαντις ἦσθ' ἄρ', ἀλλ' ἐτήτυμος.
καίτοι μ' ἐσήει δεῖμα μή τινος κλύων
ἀλαστόρων, δόξαι μι σὴν κλύειν ὄπα.
ἀλλ' εὖ τελεῖται. πείσομαι δὲ σοῖς λόγοις.
ἰδοὺ μεθίη μ' Ἑρμιόνην ἀπὸ σφαγῆς.

καὶ λέκτρ'

καὶ λέκτρ' ἐπήνεσ', ἡνίκ' ἂν δίδῳ πατήρ.
ὦ Ζηνὸς Ἑλένη χαῖρε παῖ Ζηλῶ δέ σε
θεῶν κατοικήσασαν ὄλβιον δόμον.
Ὀρέστα, σοὶ δὲ παῖδ' ἐγὼ κατεγγυῶ,
Φοίβου λέγοντος εὐγενὴς δ' ἀπ' εὐγενοῦς
γήμας, ὄναιο καὶ σὺ καὶ ὁ δίδους ἐγώ.
ἀπ χωρεῖτε νῦν ἕκαστος, οἷ προστασσόμεν.
νείκους τε διαλύεσθε .Μ. πείθεσθαι χρεών.
ὀρέ κἀγὼ τοιοῦτος. σπένδομαι δὲ συμφοραῖς
Μενέλαε, καὶ σοῖς Λοξίᾳ θεσπίσμασιν.
ἀπ ἴτε νῦν καθ' ὁδὸν τὴν καλλίστην
θεῶν εἰρήνην τιμῶντες. ἐγὼ
δ' Ἑλένην Ζηνὸς μελάθροις πελάσω,
λαμπρῶν ἄστρων πόλον ἐξανύσας,
ἔνθα παρ' Ηρᾳ, τῇθ' Ἑρακλέους
Ηβη πάρεδρος θεὸς ἀνθρώποις
ἔσται, σπονδαῖς ἔντιμος ἀιεὶ
σὺν Τυνδαρείδαις τοῖς Διὸς υἱοῖς
ναύταις, μεδέουσα θαλάσσης.
χο ὦ μέγα σεμνὴ νίκα, τὸν ἐμὸν
βίοτον κατέχοις,
καὶ μὴ λήγοις στεφανοῦσα.

ΕΥΡΙΠΙΔΟΥ
ΟΡΕΣΤΗΣ.

C.H. Strauss.

ΥΠΟΘΕΣΙΣ ΦΟΙ ΝΙΣΣΩΝ.

Ετεοκλῆς παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν, ἀπεστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην. φυγὰς δὲ ἐκεῖνος εἰς Αργος παραγενόμενος, ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Αδράστου. κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόλογον στρατὸν κατὰ τοῦ ἀδελφοῦ, καὶ εἰς Θήβας ἐλήλυθεν. ἡ δὲ μήτηρ αὐτοῦ Ιοκάστη ἐποίησεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν ἐς τὴν πόλιν καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς. δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ετεοκλέους, ἡ μὴν Ιοκάστη συναγαγεῖν τὰ τέκνα οὐκ ἠδύνατο πρὸς φιλίαν. Πολυνείκης δὲ ὡς πρὸς πόλεμον λοιπὸν παραταξάμενος, ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην θέσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Αρει γένηται. ὁ μὲν οὖν Κρέων, ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα. ὁ δὲ νεανίσκος, ἐβούλετο. καὶ τοῦ πατρὸς αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε. καὶ δὴ καὶ ἔπραξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Αργείων ἔσφαξαν. Ετεοκλῆς δὲ, καὶ Πολυνείκης μονομαχήσαντες, ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς, ἀνεῖλεν ἑαυτήν, ὁ δὲ ταύτης ἀδελφὸς Κρέων, παρέλαβε τὴν βασιλείαν. οἵ τε Αργεῖοι νικηθέντες τῆς μάχης, ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας ~~οὐκ ἔδωκεν εἰς ταφήν~~. Πολυνείκην δὲ ἀκήδευτον ἔρ-

ριψεν

ριψεν. Οἰδίπου δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ' ὧν μὲν φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ' ὧν δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ περὶ τὴν δυστυχίαν ἐλεήσας.

ΚΑΙ ΑΛΛΩΣ.

Περιπαθεῖς ἄγαν αἱ Φοίνισσαι τῇ τραγῳδίᾳ. ἀπώλετο γὰρ ὁ Κρέοντος υἱὸς ἀπὸ τοῦ τείχους ὑπὲρ τῆς πόλεως ἀπεθανών. ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ' ἀλλήλων. καὶ Ιοκάστη ἡ μήτηρ αὐτῶν ἑαυτὴν ἀνεῖλεν ἐν τοῖς παισί. καὶ οἱ ἐπὶ Θήβας στρατευόμενοι Αργεῖοι, ἀπώλοντο. καὶ ἄταφος Πολυνείκης πρόκειται. καὶ Οἰδίπους τῆς πατρίδος ἐκβάλλεται. καὶ σὺν αὐτῷ, ἡ θυγάτηρ Αντιγόνη. Εστι δὲ τὸ δρᾶμα καὶ πολυπρόσωπον, καὶ γνωμῶν πολλῶν μεστόν τε, καὶ καλῶν.

ΚΑΙ ΑΛΛΩΣ.

Εστι μὴν ταῖς σκηνικαῖς ὄψεσι καλὸν τὸ δρᾶμα, ἐπεὶ καὶ παραπληρωματικόν. ἥ τε ἀπὸ τῶν τειχέων Αντιγόνη θεωροῦσα, μέρος οὐκ ἐστὶ δράματος. καὶ ὑπόσπονδος, Πολυνείκης οὐδενὸς ἕνεκα παραγίνεται, ὅτι ἐπὶ πᾶσι μετ' ᾠδῆς ἀδολέσχου φυγαδευόμενος ὁ Οἰδίπους, προσέῤῥιπτε διάκειν οὗ.

ΧΡΗΣΜΟΣ ΔΟΘΕΙΣ ΛΑΙΩ ΤΩ ΘΗΒΑΙΩ.

Λάϊε λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
Δώσω τοι φίλον υἱόν. ἀτὰρ πεπρωμένον ἐστὶ
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὣς γὰρ ἐνεύσε
Ζεὺς κρονίδης Γέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλ) ἥρπασας υἱόν. ὅδ' ἤυξατό σοι τάδε πάντα

ΤΟ ΑΙΝΙΓΜΑ ΤΗΣ ΣΦΙΓΓΟΣ.

Ἐστι δίπουν ἐπὶ γῆς, καὶ τετράπουν. οὗ μία φωνὴ,
Καὶ τρίπουν. ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα, καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Ιοκάστη.	Πολυνείκης.	Ἄγγελος.
Παιδαγωγός.	Ἐτεοκλῆς.	Ἕτερος ἄγγελος.
Αντιγόνη.	Κρέων.	Οἰδίπους.
Χορὸς ἐκ Φοινισσῶν γυναικῶν.	Μενοικεύς.	
	Τειρεσίας.	

Προλογίζει δὲ ἡ Ιοκάστη.

ΕΥΡΙΠΙΔΟΥ ΦΟΙΝΙΣΣΑΙ.



Ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν,
καὶ χρυσοκολλήτοισιν ἐμβιβὼς δίφροις
ἥλιε, θοαῖς ἵπποισιν ἑλίσσων φλόγα,
ὡς δυστυχῆ Θήβαισι τῇ τόθ' ἡμέρᾳ
ἀκτῖν' ἐφῆκας, Κάδμος ἡνίκ' ἦλθε γῆν θεῶν
τήνδ', ἐκλιπὼν Φοινίσσαν ἐναλίαν χθόνα.
ὃς παῖδα γήμας Κύπριδος Ἁρμονίαν ποτὲ,
Πολύδωρον ἐξέφυσε. τοῦδε, Λάβδακον
φῦναι λέγουσιν. ἐκ δὲ τοῦδε, Λάϊον.
ἐγὼ δὲ παῖς μὲν κληΐζομαι Μενοικέως,
Κρέων τ' ἀδελφὸς ματρὸς ἐκ μιᾶς ἔφυ.
καλοῦσι δ' Ιοκάστην με. τοῦτο γὰρ πατὴρ
ἔθετο. γαμεῖ δὲ Λάϊός μ'. ἐπεὶ δ' ἄπαις
ἦν, χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
ἐλθὼν ἐρωτᾷ Φοῖβον, ἀξαιτεῖ θ' ἅμα
παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
ὅδ' εἶπεν. ὦ Θήβαισιν εὐίπποις ἄναξ,
μὴ σπεῖρε τέκνον ἄλοκα δαιμόνων βίᾳ.
εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὀφὺς,
καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
ὅδ' ἡδονῇ δοὺς, εἴς τε Βακχεῖον πεσὼν,
ἔσπειρεν ἡμῖν παῖδα. καὶ σπείρας βρέφος,
γνοὺς τἀμπλάκημα, τοῦ θεοῦ τε τὴν φάτιν,
λειμῶν' ἐς Ἥρας, καὶ Κιθαιρῶνος λέπας
δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,

σφυρῶν

σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον.
ὅθεν νιν Ελλὰς ὠνόμαζεν Οἰδίπουν.
Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι,
φέρουσ' ἐς οἴκους. εἴς τε δεσποίνης χέρας
ἔθηκαν. ἡ δὲ, τῶν ἐμῶν ὠδίνων πόνον,
μαστοῖς ὑφεῖτο, καὶ πόσιν πείθει τεκεῖν.
ἤδη δὴ πυρσαῖς γένυσιν ἐξανδρούμενος
παῖς οὐ μὸς, ἢ γνοὺς, ἤτινος μαθὼν πάρα,
ἔσειχε τοὺς φύσαντας ἐκμαθεῖν θέλων,
πρὸς δῶμα Φοίβου, Λαΐος θ' οὐ μὸς πόσις,
τὸν ἐκτεθέντα παῖδα μαστεύων μαθεῖν
εἰ μηκέτ' εἴη. καὶ ξυνάπτετον πόδα
ἐς ταὐτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ.
Ἐνιν κελεύει Λαΐου τροχηλάτης.
ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.
ὅδ' εἶρπ' ἄναυδος μέγα φρονῶν. πῶλοι δέ νιν
χηλαῖς τένοντας ἐξεφοίνισσον ποδῶν.
ὅθεν, τί τἀκτὸς τῶν κακῶν με δεῖ λέγειν;
παῖς, πατέρα καίνει. Ἐλαβὼν ὀχήματα,
Πολύβῳ τροφεῖ δίδωσιν. ὡς δ' ἐπεζάρει
Σφίγξ ἁρπαγαῖσι πόλιν, ἐμός τ' οὐκ ἦν πόσις
Κρέων τ' ἀδελφὸς τἀμὰ κηρύσσει λέχη.
ὅστις σοφῆς αἴνιγμα παρθένου μάθοι,
τούτῳ ξυνάψειν λέκτρα. τυγχάνει δέ πως
αἴνιγμ' ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθών.
ὅθεν τύραννος τῆς δε γῆς καθίσταται,
καὶ σκῆπτρ' ἔπαθλα τῆσδε λαμβάνει χθονός.
γαμεῖ δὲ τὴν τεκοῦσαν, οὐκ εἰδὼς τάλας,
οὐδ' ἡ τεκοῦσα παιδὶ, συγκοιμωμένη
τίκτῳ δὲ παῖδας παιδὶ, δύο μὲν ἄρρενας,

Ετεοκλέα

Ετεοκλέα, κλεινήν τε πολυνείκους βίαν.
κόρας τε δισσάς. τὴν μὲν, Ισμήνην πατὴρ
ὠνόμασε. τὴν δὲ πρόσθεν, Αντιγόνην ἐγώ.
μαθὼν δὲ τἀμὰ λέκτρα μητρῴων γάμων
ὁ πάντ' ἀνατλὰς Οἰδίπους παθήματα,
εἰς ὄμματ' αὐτοῦ δεινὸν ἐμβάλλει φόνον,
χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.
ἐπεὶ δὲ τέκνων γένυς ἐμῶν σκιάζεται,
κλείθροις ἔκρυψαν πατέρ', ἵν' ἀμνήμων τύχη
γένοιτο, πολλῶν δεομένη σοφισμάτων.
ζῶν δ' ἔστ' ἐν οἴκοις. πρὸς δὴ τῆς τύχης νοσῶν,
ἀρὰς ἀρᾶται παισὶν ἀνοσιωτάτας,
θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
τώδ' εἰς φόβον πεσόντε μὴ τελεσφόρους
ἀρὰς θεοὶ κραίνωσιν οἰκούντων ὁμοῦ,
ξυμβάντ' ἔταξαν τὸν νεώτερον πάρος
φεύγειν ἑκόντα τήνδε Πολυνείκην χθόνα.
Ετεοκλέα δὲ σκῆπτρ' ἔχειν μένοντα γῆς,
ἐνιαυτὸν ἀλλάσσοντ'. ἐπεὶ δ' ἐπὶ ζυγοῖς
καθέζετ' ἀρχῆς, οὐ μεθίσταται θρόνων.
φυγάδα δ' ἀπωθεῖ τῆσδε Πολυνείκην χθονός.
ὅδ' Αργος ἐλθὼν, κῆδος Αδράστου λαβὼν,
πολλὴν ἀθροίσας ἀσπίδ' Αργείων, ἄγει.
ἐπ' αὐτὰ δ' ἐλθὼν ἑπτάπυλα τείχη τάδε,
πατρῷ' ἀπαιτεῖ σκῆπτρα, καὶ μέρη χθονός.
ἐγὼ δ' ἔριν λύουσ', ὑπόσπονδον μολεῖν
ἔπεισα παιδὶ παῖδα, πρὶν ψαῦσαι δορός.
ἥξειν δ' ὁ πεμφθεὶς φησιν αὐτὸν ἄγγελος.
ἀλλ' ὦ φαεινὰς οὐρανοῦ ναίων πτύχας
Ζεῦ, σῶσον ἡμᾶς. δὸς δὴ ξύμβασιν τέκνοις.

χρὴ δ'

χρὴ δ' εἰ σοφὸς πέφυκας, δι' ἐξ ἑνὸς βροτοῦ
τοὺς ἀστοὺς ἀεὶ δυσχερῆ καθεστάναι.

παι ὦ κλεινὸν οἶκοις Ἀντιγόνη βάλος πατρί,
ἐπεί σε μήτηρ παρθενῶνας ἐκλιπεῖν
μεθῆκε, μελάθρων δ' ἐς δύπρις ἔχα τοῦ
σράτου μ' ἰδεῖν ἀργεῖον ἱκετείας σάς,
ἐπίσχες, ὡσὰν πρὸξ ὀργὴν σὺν ἐμοῦ,
μήτις πολιτῶν γ' τρίβῳ φαντάζεσ',
κἀμοὶ μὴν ἔλθοι φαῦλος ὡς δι' ἄλλων ψόγος,
σοὶ ὡς ἀνάσσῃ. πάντα δ' ἐξεισ' ὡς, φράσω,
ἅσ' εἶδον, εἰσικασάσ' Ἀργείων πάρα,
σπουδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων,
ὑφ' ὧν δ' ἐκεῖσε, δι' ὃ τύρ' ἂν κεῖνα πάρα.
ἀλλ' ὅστις ἀσῶν τοῖσδε χρήσεται δόμοις,
κέδρου παλαιὰν κλίμακ' ἑκπέρα ποδί.
σκόπει δὲ πεδία, κἀπὶ παῤ Ἰσμηνὸν ῥοὰς,
Δίρκης τ' ἀγῶμα, πολεμίων σράτευμ' ὅσον.
ἀν ὄρεγε νῦν ὄρεγε γεραιὰν νέᾳ χεῖρ' ἀρὲ κλιμάκων,
ποδὸς ἴχνος ἐπαντέλλων.

παι ἰδ', ξύναψον παρθέν'. εἰς καιρὸν δ' ἔβης,
κινδύνου γὰρ τυγχάνει τελασγικὸν
σράτευμα. χωρίζουσι δ' ἀλλήλων λόχους.

ἀν ἰὼ πότνια τᾶς Λατοῦς Ἑκάτα,
κατάχαλκον ἅπαν πεδίον ἀσράπησε.

παι ὀ γάρ τι φάλος ἦλθε. πολυνείκης χθόνα
πολλοῖς μὲν ἵπποις, μυρίοις δ' ὅπλοις, βρέμων.

ἀν ἆρα πύλαι κλείθροις χαλκόγομφά τ' ἐμβολὰ
λαΐνοις Ἀμφίονος ὀργάνοις
τείχεος ἥρμοσαι;

παι θάρσει. πάγ' ἔνδυν, ἀσφαλῶς ἔχει πόλις.

ἀλλ'

ἀλλ' εἰσόρα τὸν πρῶτον, εἰ βάλει μαθεῖν.

ἀν τίς ὅδε ὁ λυσιπόλοφας, πρόπαρ ὃς ἄγει σρατὸν
πάγχαλκον ἀσπίδ' ἀμφὶ βραχίονι καφίζων;

παι λοχαγὸς ὦ δέσποινα.

ἀν τίς; ποθεν γεγώς; ἄνδρα σον ὠγραιέ
τίς ὀνομάζει;

παι ὅδε μυκηναῖος μὲν αὐδᾶται γόνος,
λερναῖα δ' οἰκεῖ νάματ' Ἱπποκράνου ἄνακ.

ἀν ἐ ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν.
γίγαντι γ' ἐγγύς πως ὁσόμοιος. ἀσερόπᾳ
γὰρ γραφαῖσιν. οὐκ προσφόρως ἀμειβέσθω γ' ἔνα.

παι τόνδ' ἐξαμείβουτ' οὐχ ὁρᾷς Δίρκης ὕδωρ λοχαγούς;

ἀν ἄλλος ἄλλος ὅδε τις ὑγρὸς ἔβοσε. τίς δ' ὅδε;

παι πᾶς μὲν Οἰνέως ἔφυ τυδεύς,
Ἄρην δ' ἀσπιδοῦχον ἔσερνοις ἔχει.

ἀν ὅδε ὁ τᾶς Πολυνείκεος ὦ γέρον,
αὐτοκασιγνήτας νύμφας ὁ μόγαμος κυρεῖς
ὡς ἁλόχῳ σὺν ὅπλοισι μιξοβάρβαρος.

παι σακεσφόροι γὰρ πάντες Αἰτωλοὶ τέκνον,
λόγχαις τ' ἀκοντισῆρες δυσχώσαροι.

ἀν σὺ δ' ὦ γέρον, πῶς ἀιθάνει σαφῶς τάδε;

παι σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώρισα,
σπουδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων.

ἀν ἃ πρόσθεν ὀρκώς, οἷσθα τὸν ὡπλισμένον.

παι τίς δ' ὅδε ἀμφὶ μνῆμα τῆσδε Ζήθης πέρᾳ,
καταβόσρυχος ὄμμασι γοργὸς εἰσιδεῖν νεανίας;

ἀν λοχαγός... Α. ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
πάνοπλος ἀμφέπει.

παι ὅδ' ἔσι Παρθενοπαῖος. Α. παλαύσιος γόνος.

ἀν ἀλλ' ἄνιν' ἃ κατ' ὄρη μετὰ ματέρ-

Αρτεμις

Ἄρτεμις ἱερὰν πέξοις λαμάδα σὰν,
ὀλέσειεν, ὅς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.
παι εἴκ τάδ' ὦ πᾶ. σὺν δίκῃ δ' ἥκουσι γᾶν.
ὦ κἀμὲ δ' ἔδικα μὴ σκοπῶσ' ὀρθῶς θεοί.
ἀν πῶ πῶ δ' ὃς ἐμοὶ μιᾶς ἐγγύης ἐκ ματέρ⊙
πολυπένθη μοίρᾳ; ὦ φίλτατ' εἰπὲ πῶ σε
πολυνείκης, γέρον.
παι ἐκεῖνος τῶν ἑπτὰ παρθένων τάφος πέλας
Νιόβης, Ἀσωπίδος πλησίον πᾶς ἀτεῖ. ὁρᾷς;
ἀν ὁρῶ δ' ἦτ' ὀ σαφῶς. ὁρῶ δ' ἔ πως
μορφῆς τύπωμα, στέρνα τ' ἐξεικασμένα.
ἀνεμώκεως εἶβε δρόμον νεφέλας ποσίν
ἐξανύσαιμι δὶ ἀθέρος πῶς ἐμὸν
ὁμογενέορα. πρὸς δ' ὠλένας
δέρᾳ φιλτάτᾳ βάλοιμι χρόνῳ φυγάδα μέλεον;
ὡς ὅπλοισι χρυσέοισιν σὺν πρεπὴς γέρον.
ἐώοις ὅμοια φλεγέθων βολαῖς ἀελίῳ.
παι ἦξει δόμους τοσσάδ', ὥστέ σ' ἐκπλῆσαι χαρᾶς
φίλους.
ἀν ὅτ⊙ δ' ὦ γραῖ, πῖς; πόθεν κυρεῖς;
ὃς ἅρμαλυκὸν ἵππιος τροφεῖ βεβώς;
παι ὁ μάντις Ἀμφιάρα⊙ ὦ δέσποιν' ὁ δέ.
σφάγια δ' ἅμ' αὐτῷ γῆς φιλαίμακτοι ῥοαί.
ἀν ὦ λιπαροζώνου θύγατερ
ἀελίου σελαναίας, χρυσεόκυκλον
φέγγ⊙, ὡς ἀτρεμέα κώπτρα
καὶ σώφρονα πώλοις μεταφέρων, ἰθύνει.
πῶ δ' ὃς τὰ δεινὰ τῇδ' ἐφυβρίζει πόλει
Καπανεύς;
παι ἐκεῖνος ἑπτὰ πῶς βάσεις τετμαίρεται
πύργων.

ἀν πύργων, ἄνω τε καὶ κάτω τείχη μετρῶν.
ἰὼ νέμεσις, Διὸς Βαρύβρομοι Βροντᾶι,
κεραύνιόν τε πῦρ ἀνθαλόων,
σύ τοι μεγαλαυχείαν ὑπερόρᾳς
ποιμίζεις. δδὶ δεῖμ' ἀλιχμαλωτίδας
ὃς δρεὶ Θηβαίας Μυκήναισι,
δερκαίᾳ τε δώσειν τριαίνᾳ,
ποσειδωνείοις ἀμυμμονείοις ὕδασι
δελέαν πολιβαλών; μήποτε.
μήποτε τάνδ' ὦ πότνια χρυσεοδόρυχον,
ὦ Διὸς ἔρνος Ἄρτεμι, δέλεσσύναν τλαίην.
παι ὦ τέκνον, εἴσβα δῶμα. καὶ σὺ | σέγας
ὧν παρθενῶσι μίμνε σοῖς ἐπεὶ πόθῳ
εἰς τορὸν ἦλθες, ὧν ἔχρηζες εἰσιδεῖν.
ὄχλος γὰρ ὡς παράγμος εἰσῆλθε πόλιν.
χώρει γυναικῶν πῶς δόμος τυραννικός.
» φιλόλογον γ' χρῆμα θηλείων γένος ἔφυ.
» σμικρὰς δ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
» πλείους ἐπεισφέρουσιν. ἡδονὴ δέ τις
» γύναιξι μηδὲν ὑγιὲς ἀλλήλαις λέγειν.
χο τύχοιμ' οἰσιμαλιπτὸ σ', ἔβαν
ἀκροδίνια λοξίᾳ
Φοινίσσας ἀκρόνασσ' Φοίβῳ,
δέλτα μελάθρων, ἵν' ὑπὸ δειρᾶσι
νιφοβόλοιο πέπλοις κατενάδω,
ἰόνιον ἢ | πόντον ἐλάτᾳ πλεύσασ', πόδι
ῥύτων ὑπὲρ ἀκτὰν πίσων πεδίων Σικελίας,
ζεφύρου πνοαῖς ἱππεύσαντος ἐν ὁρμᾷ.
κάλλιστον κελάδημα πόλεως ἐκπροκείθεισ' ἐμᾶς,
καλλισθύματα λοξίᾳ, καθ' μέσῳ ἔμολον γᾶν

κλῄνδῃ Αγηνορίδᾶν, ὁ μογενὴς ἐπὶ Λαΐῳ πεμφθεῖσα
γνάθοις πύργος. ἴσα δ' ἀγάλμασι χρυσοτύποις
Φοίβῳ λάτρις ἐγενόμαν.
ἔπι δὲ Κασταλίας ὕδωρ ἐπιμένει μοι
κόμας ἐμὰς λοῦσαι, παρθένιον χλιδᾶν
φοιβείαισι λατρείαις. ἰὼ λάμπρωσα πέτρα πυρὸς
δικόρυφον σέλας ἑῶρ ἄκρων
Βακχείων Διονύσου οἴναθ',
ἃ καθαμέριον στάζεις τὸν πολύκαρπον
οἰνάνθας ἱερᾶς Βότρυος, ζάθεά τ' ἄνδρα θοάκωνος,
ὄρειά τε σκοπιὰ θεῶν, νιφόβολόν
τ' ὄρος ἱερὸν εἰλίσσων ἀθανάτας θεὸς,
χορὸς γενοίμαν ἄφοβος παρὰ μεσό
μφαλα γᾶς φοίβου Δίρκαν πολιπόλαν.
νῦν δέ μοι πρὸ τειχέων θέλος μολὼν Αρης,
ἅμα δ' ἀΐου φλέγει τᾶδε. ὁ μὴ τύχοι πόλει.
» Κοινὰ γὰ φίλων ἄχη.
κοινὰ δ' εἴ τι πείσεθ' ἑπτάπυργος ἅδε γᾶ
Φοινίσσα. χώρα. φοῦ. φοῦ. κοινὸν αἷμα, κοινὰ τέ-
τᾶς κόρας φόρος πέφυκεν ἴσος. ὧν μέτεστί μοι (κακῶ
πόνων. ἀμφὶ δὲ πόλιν νέφος ἀσπίδων
πυκνὸν φλέγει, χῆμα Φοινὶς μάχης.
ἆρ' Αρης τάχ' οἴσεται παισὶν Οἰδίπου,
φέρων πημονὰν Ερινύων.
Αργος ὦ πελασγικὸν, δ' εἱμαίνω
τὰν σὰν ἀλκάν, καὶ τὸ θεόθεν.
ὀ γὰρ ἄδικον εἰς ἀγῶνα πόνδ' ὁπλο-
όρμᾶ. πᾶς, ὃς μετέρχεται δόμους.
πο τὰ μὲν πυλωρῶν πλεῖθρά μ' ἐστέλεξαν.
δι' ὑπερτείας τειχέων εἴσω μολεῖν.
ὁ καὶ δίδυμα, μὴ μὲ δικτύων ἔσω

λαβόντες, ὀ μεθῶσιν ἀναίμακτον χροὰ.
ὧν ὄνεκ' ὄμμα πάντα χὴ δίοισέον,
κἀπεῖσε καὶ τὸ δίδυμο, μὴ δόλος τις ᾖ.
ὡπλισμένο- ᾖ χεῖρα τῷδε φασγάνῳ,
τὰ πὶς' ἐμαυτῷ τὸ θράσος παρεξομαι.
ὠὴ, τίς ὄρος; ἢ κτύπου φοβόμεθα.
» Απαντα γὰ τολμῶσι δεινὰ φαίνεται
» Οταν δὶ ἐχθρᾶς πὸς ἀμείβηται χθονός.
π' ἐποιθα μᾶτερ, κὰ πὶ σοὶ θ' ἅμα,
πῶς μ' ἔπεισε δ' ὑβρὶ χὠσπουδὴν μολεῖν.
ἀλλ' ἐγὼς ἀλκή. βώμοι γὰ ἐφάρας
πέλας πάρεισι, κὰκ ἐρημαδ' ὠμάτα.
φεῦ ἐς σκοτεινὰς πόδιβολὰς μεθῶ ξίφος,
καὶ πᾶσδ' ἔρωμαι, τίνες ἐφεσᾶσι δόμοις
ξέναι γυναῖκες. εἶπατ' ἐκ πτίας πάτρας
ἑλληνιδίοισ' δ' ὠμασι πελάζετε;
Φοινίσσα μὲν γὴ πατρὶς ἥ θρέψασά με,
Αγήνορος δ' ἡ παῖδες ἐκ παῖδος δρὸς,
Φοίβῳ μ' ἔπεμψαν δ' ἀκροθίνιον.
μέλλων δ' ἡ πεμπειν μ' Οἰδίπου κλεινὸς γόν-,
μαντεῖα σεμνὰ λοξίου τ' ἐπ' ἐχάρας.
ὡ τῶδ' ἐπεστράτευσαν Αργεῖοι πόλιν.
σύδ' ἀντάμειψάς μ' ὅστις ὢν ἐλήλυθας,
ἑπτάστομον πύργωμα θηβαίας χθονός.
πο πατὴρ μὲν ἡμὶν, Οἰδίπους ὁ Λαΐου.
ἔπικτε δ' Ιοκάστην με, παῖς Μηνοικέως.
καλεῖ δὲ πολιωκίλω με βυβλίος λεώς.
ὦ συγγένεια τῶν Αγήνορος τέκνων,
ἐμῶν τυράννων. ὧν ἀπεστάλην ὕπο,
γουνοῦμαι σὲ δρᾶς πολιτῶν
σ' ἀναξ, τὸν οἰκοθεν νόμον σέβειν. h 2 ἐᾶν

ἔβας ἔβας ὦ χρόνῳ γᾶν πατρῴαν.
ἰὼ ἰὼ πότνια, μόλε πρόδομος. ἀναπέτασον πύλας
κλύεις ὦ τεκοῦσα τόνδε; μᾶτερ, τί μέλλεις
ὑπώροφα μέλαθρα περᾶν, θίγειν τ' ὠλέναις τέ-
ιο φοίνισσαν ὦ νεάνιδες βοὰν ἔσω (κνου;
δόμων κλύουσα τῶνδε γήρᾳ τρομερὰν
ἕλκω ποδὸς βάσιν. ἰὼ τέκνον, χρόνῳ
σὸν ὄμμα, μυρίαις τ' ἐν ἁμέραις προσεῖδον.
ἀμφιβαλλε μαστὸν ὠλέναισι ματρὸς,
παρηΐδων τ' ὄρεγμα, βοστρύχων τε κυανόχρωτα
πλόκαμον σκιάζων δέραν ἐμάν. (χαίτας
ἰὼ ἰὼ, μόλις φανεὶς ἄελπτα κἀδόκητα
ματρὸς ὠλέναις. τί φῶ σε; πῶς ἅπαντα
καὶ χερσὶ καὶ λόγοισι πολυέλικτον ἀδονὰν
ἐκεῖσε καὶ τὸ δεῦρο περιχορεύουσα, τέρψιν
παλαιᾶς λάβω χαρμονᾶς; ἰὼ τέκος,
ἔρημον πατρῷον ἔλιπες δόμον,
φυγὰς ἀπεσταλεὶς ὁμαίμου λώβᾳ.
ἦ ποθεινὸς φίλοις; ἦ ποθεινὸς Θήβαις;
ὅθεν, ἐμάντε λευκόχροα κείρομαι
δακρυόεσσαν ἱεῖσα πενθήρη κόμαν,
ἄπεπλος φαρέων λευκῶν τέκνον.
δυσόρφναιά δ' ἀμφιτρύχη τάδε σκότι
ἀμείβομαι. ὅδ' ἐν δώμασι πρέσβυς
ὀμμαστερὴς ἀπήνας ὁμοπτέρου
τᾶς ἀπζυγείσας δόμων, πόθον ἀμφιδάκρυτον
αἰεὶ κατέχων. ἀνήϊξε μὲν ξίφος
ἐπαυτόχειρά σε σφαγάν. ὑπερτέρεμνά
τ' ἀγχόνας, στενάζων ἀρὰς τέκνοις.
σὺν ἀλαλαῖσι δ' αἰαγμάτων. σκοτία
κρύπτετ

κρύπτεται. σὲ δ' ὦ τέκνον καὶ γάμοισι δὴ κλύω
ζυγέντα, παιδοποιὸν ἀδονάν
ξένοισιν ἐν δόμοις ἔχειν. ξένοντε
κῆδος ἀμφέπειν. ἄλαστα ματρὶ τάδε,
Λαΐῳ τε σῷ παλαιγενεῖ, γάμων ἐπακτὰν ἄταν.
ἐγὼ δ' ὅτε σοι πυρὸς ἀνῆψα φῶς
νόμιμον ἐν γάμοις, ὡς τρέπει ματρὶ μακαρίᾳ.
ἀνυμέναια δ' Ισμηνὸς ἐκηδεύθη,
λουτροφόρου χλιδᾶς. ἀνὰ δὲ Θηβαίαν πόλιν
ἐσιγάθη σᾶς εἴσοδος νύμφας.
ὄλοιτο τάδ', εἴτε σίδαρος, εἴτ' ἔρις, εἴτε
πατὴρ ὁσὸς αἴτιος, εἴτε τὸ δαιμόνιον
κατεκώμασε δώμασιν οἰδιπόδαο.
πῶς ἐμὲ γὰρ κακῶν ἔμολε τῶν δ' ἄχη.
χο Δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναί.
» Καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.
πο μᾶτερ, φρονῶν εὖ, κοὐ φρονῶν, ἀφικόμαν
» ἐχθρὸς ἐς ἄνδρας. Αλλ' ἀναγκαίως ἔχει
» Γατρίδος ἐρᾶν ἅπαντας. ὃς δ' ἄλλως λέγει,
» Λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.
οὕτω δὲ τάρβος εἰς φόβον τ' ἀφικόμην,
μή τις δόλος με πῶς κασιγνήτου κτάνη,
ὥστε ξιφήρη χεῖρ' ἔχων, δι' ἄστεος
κυκλῶν πρόσωπον ἦλθον ἐν δέ μ' ὠφελεῖ,
σπονδαί τε, καὶ σὴ πίστις, ἥ μ' εἰσήγαγε
τείχη πατρῷα. πολύδακρυς δ' ἀφικόμην
χρόνιος ἰδὼν μέλαθρα, καὶ βωμοὺς θεῶν,
γυμνασιάθ', οἷσιν ἐνετράφην, Δίρκης θ' ὕδωρ.
ὧν οὐ δικαίως ἀπελαθεὶς, ξένην πόλιν
ναίω, δι' ὄσσων ὄμμ' ἔχων δακρυῤῥοοῦν.

ἀλλ' ἐκ γὰρ ἄλγους αὖ σε δέρκομαι,
κάρα ξυρκὲς, καὶ πέπλους μελαγχίμους
ἔχουσαν. οἴ μοι τῶν ἐμῶν ἐγὼ κακῶν.
» Ὡς δεινὸν ἔχθρα μᾶτερ οἰκείον φίλων,
» Καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς.
τί γὰρ πατήρ μοι πρέσβης ἐν δώμασι δρᾷ
σκότον δεδορκώς; τί δὲ κασίγνηται δύο;
ἦπου στένουσι τλήμονες φυγὰς ἐμάς;
ἰο κακῶς θεῶν τις Οἰδίπου φθείρει γένος.
οὕτω γὰρ ἤρξατ' ἄνομα μὲν τεκεῖν ἐμὲ,
κακῶς δὲ γῆμαι πατέρα σὸν, φῦναί τε σέ.
» ἀτὰρ τί ταῦτα; Δεῖ φέρειν τὰ τῶν θεῶν.
ὅπως δ' ἔρομαι, μή τι σὴν δάκῳ φρένα
δέ δοιχ', ἃ χρήζω, δὰ πόθου δ' ἐλήλυθα.
πο ἀλλ' ἐξερώτα. μηδὲν ἐνδεὲς λίπῃς.
ἃ γὰρ σὺ βούλει, ταῦτ' ἐμοὶ μᾶτερ φίλα.
ἰο καὶ δὴ σ' ἐρωτῶ πρῶτον, ὧν χρήζω τυχεῖν.
» τί, Τὸ στέρεσθαι πατρίδος, ἢ κακὸν μέγα;
πο Μέγιστον. ἔργῳ δ' ἐστὶ μεῖζον, ἢ λόγῳ.
ἰο τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσι τὸ δυσχερές;
πο ἓν μὲν μέγιστον, οὐκ ἔχει παῤῥησίαν.
ἰο Δούλου τόδ' εἶπας, μὴ λέγειν ἃ τις φρονεῖ.
πο Τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών.
ἰο Καὶ τοῦτο λυπρὸν, συνασοφεῖν τοῖς μὴ σοφοῖς.
πο Ἀλλ' εἰς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.
ἰο Αἰδ' ἐλπίδες βόσκουσι φυγάδας ὡς λόγος;
πο καλοῖς βλέπουσίγ' ὄμμασι, μέλλουσι δέ.
ἰο οὐδ' ὁ χρόνος αὐτὰς διέσαφησ' οὔσας κενάς;
πο ἔχουσιν Ἀφροδίτην τίν' ἡδεῖαν θεόν.
ἰο πόθεν δ' ἐβόσκου πρὶν γάμοις εὑρεῖν βίον;
πο ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον εἶτ' οὐκ εἶχον ἄν.

ἰο φίλοι δὲ πατρὸς καὶ ξένοι σ' οὐκ ὠφέλουν;
πο Εὖ πράσσε. τὰ φίλων δ' οὐδὲν, ἦν τις δυστυχῇ.
ἰο οὐδ' ἡ ὑγενειά σ' ἦρεν εἰς ὕψος μέγα;
πο Κακὸν τὸ μὴ ἔχειν. τὸ γένος οὐκ ἔβοσκέ με.
ἰο ἡ πατρὶς ὡς ἔοικε φίλτατον βροτοῖς;
πο οὐδ' ὀνομάσαι δύναι μ' ἂν ὡς ἐστὶ φίλον.
ἰο πῶς δ' ἦλθες Ἄργος; τίν' ἐπίνοιαν ἔσχες;
πο ἔχρησ' Ἀδράστῳ Λοξίας χρησμὸν τινα.
ἰο ποῖον; τί τοῦτ' ἔλεξας; οὐκ ἔχω μαθεῖν.
πο κάπρῳ, λέοντίθ' ἁρμόσαι παίδων γάμους.
ἰο καὶ σοί τί θηρῶν ὀνόματος μετῆν τέκνον;
πο οὐκ οἶδ'. ὃ δαίμων μ' ἐκάλεσε πρὸς τὴν τύχην.
ἰο σοφὸς γὰρ ὁ θεός. τίνι τρόπῳ δ' ἔσχες λέχος;
πο νὺξ ἦν. Ἀδράστου δ' ἦλθον εἰς πραστάδας.
ἰο κοίτας μαστεύων ἢ φυγὰς πλανώμενος;
πο ἦν ταῦτα. κᾆτάγ' ἦλθεν ἄλλος αὖ φυγάς.
ἰο τίς οὗτος; ὡς ἄρ' ἄθλιος κἀκεῖνος ἦν.
πο Τυδεύς. ὃν Οἰνέως φασὶν ἐκφῦναι πατρός.
ἰο τί θηρσὶ δ' ὑμᾶς δῆτ' Ἀδραστος εἴκασε;
πο στρωμνῆς ἐς ἀλκὴν οὕνεκ' ἤλθομεν πέρι
ἰο ἐνταῦθα Ταλαοῦ παῖς συνῆκε θέσφατα;
πο κἄδωκεν ἡμῖν δύο δυοῖν νεάνιδας.
ἰο ἆρ' εὐτυχεῖς οὖν τοῖς γάμοις, ἢ δυστυχεῖς;
πο οὐ μεμπτὸς ἡμῖν ὁ γάμος εἰς τόδ' ἡμέρας.
ἰο πῶς δ' ἐξέπεισας δεῦρό σοι ἑσπέσθαι στρατόν;
πο δισσοῖς Ἀδραστος ὤμοσε γαμβροῖς τόδε,
Τυδεῖ τε, κἀμοὶ, σύγγαμβρος γάρ ἐστ' ἐμὸς,
ἄμφω κατάξειν εἰς πάτραν. πρόσθεν δ' ἐμέ.
πολλοὶ δὲ Δαναῶν καὶ Μυκηναίων ἄκροι
πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δ' ἐμοὶ

διδόντες. ἐπὶ γὰρ τῷ ἐμῷ στρατεύομαι
πόλιν. θεὸς δ' ἐπώμοσ', ὡς ἀκούσιος
τοῖς φιλτάτοις πεδοῦσιν ἁράμενος δόρυ.
ἀλλ' εἰς σὲ τείνει τῶνδε διάλυσις κακῶν
μᾶτερ, διαλλάξασα δμογενεῖς φίλους.
παῦσαι πόνων με, καὶ σὲ, & πᾶσαν πόλιν.
πάλαι μὲν ἦν ὑμνηθέν, ἀλλ' ὅμως ἐρῶ.
» Τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
» Δύναμίν τε πλείστων τῶν γ' ἀνθρώποις ἔχει,
ἃ γὰ μεθ' ἥκω δεῦρο, μυρίαν ἄγων
» λογχίτην. πρὸς γὰρ δὲν δυγενὴς ἀνήρ.
χο καὶ μέλλω Ετεοκλῆς εἰς διαλλαγὰς ὅδε
χωρεῖ σὸν ἔργον μᾶτερ Ιοκάστη λέγειν
τοιόσδε μύθους, οἷς διαλλάξεις τέκνα.
ἰτ. μᾶτερ, πάρει μι. τῶν χάριν δὲ σοι δίδως,
πλέον. τί χρὴ δρᾶν; ἄρχέτω δὲ τις λόγου.
ὡς ἀμφὶ τεῖχη καὶ ξυνωρίδας λόχων
τάσων, ἐπέχον πόλιν, ὅπως κλύοι μίσος
κοινὰς Βραβείας. ἆς ὑπόσπονδοι μολεῖν
τόνδ' εἰσδέξω τειχέων, πείσασά με.
ἰο ἐπίχες. Οὔπω τὸ ταχὺ τῶν δίκην ἔχει.
» Βραδεῖς δὲ μῦθοι, πλεῖστον ἀνύσαι σοφόν.
φάσον ἢ δεινὸν ὄμμα, & θυμὸς πνοάς.
ὃ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα
Γοργόνας, ἀδελφὸν δ' εἰσορᾷς ἥκοντα σόν.
σύ τ' ὦ πρόσωπον πρὸς κασίγνητον τρέφε
Πολύνεικες. εἰς γὰ ταυτὸν ὄμμασι βλέπων,
λέξεις τἄμεινον, τόδε τ' ἐκδέξῃ λόγος.
παραινέσαι δὲ σφῶ τι βάλλομαι σοφόν.
» Οταν φίλος τις ἀνδρὶ θυμωθεὶς φίλῳ,

» Εἰς

» Εἰς ὃν συνελθὼν, ὄμματ' ὄμμασι δέδω,
» Εφ' οἷσιν ἧκει, ταῦτα χρὴ μόνον σκοπεῖν.
» Κακῶν δὲ τῶν πρὶν μηδαμῶς μνείαν ἔχειν.
λόγος μὲν ἦν σὸς πρόσθεν Πολύνεικες τέκνον.
σὺ γὰ στρατεύμα Δαναϊδῶν ἧκεις ἄγων,
ἄδικα πεπονθὼς, ὡς σὺ φὴς. κεἰτὴς δέ τις
θεῶν γένοιτο, καὶ διαλλακτὴς κακῶν.
πο Απλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
» Κοὐ ποικίλων δεῖτ' ἀνδρὶ ἑρμηνευμάτων.
» Εχει γὰρ αὐτὰ καιρόν. ὁ δὲ ἄδικος λόγος,
» Νοσῶν γὰ αὐτῷ, φαρμάκων δεῖται σοφῶν.
ἐγὼ δ' ἥλωμάτων πατρὸς πρόσκειμαι.
τὸ μὲν τε, μὴ τόδ' ἐκφυγεῖν χρὴ ζῶν ἀρᾶς,
ἃς Οἰδίπους ἐφθέγξατ' εἰς ἡμᾶς ποτε,
ἐξῆλθον ἔξω τῆσδ' ἐκὼν αὐτὸς χθονὸς,
δίος τῷδ' ἀνάσσειν πατρίδος γναιτὸ κύκλον,
ὥστ' αὐτὸς ἄρχειν αὖθις ἀνὰ μέρος λαβὼν,
καὶ μὴ δίεχθρας τῶνδε καὶ φόνῳ μολὼν,
κακόν τι δρᾶσαι, καὶ παθεῖν, ἃ γίνεται.
δέδ' ἀνέσεις παῦλ', ὁρκίους τε δίους θεοὺς,
ἔδρασαν ὀρθῶς, ὧν ἐπέσχετ', ἀλλ' ἔχει
τυραννίδ' αὐτὸς, καὶ δόμων ἐμῶν μέρος.
& νῦν ἕτοιμός εἰμι τἀμαυτοῦ λαβὼν,
στρατὸν μὲν ἔξω τῆσδ' ἀπαγαγεῖν χθονὸς,
οἴκεῖν δ' ἐν οἴκοις ἐμοῦ δίκην ἀνὰ μέρος λαβὼν,
καὶ τῷδ' ἀφεῖναι τὸν ἴσον αὖθις χρόνον,
καὶ μήτε πορθεῖν πατρίδ' ἀ, μήτε τι πρόσφερειν.
πύργοισι πηκτῶν κλιμάκων πρὸς ἀμβάσεις.
ἃ μὴ κυρήσας, τῆς δίκης πειράσομαι
δρᾶν. μάρτυρας δ' ὑμᾶς τῶνδε δαίμονας καλῶ,

ὡς πάντα πράσσων σὺν δίκῃ, δίκης ἄτερ
ἀπεστέρημαι πατρίδος ἀνοσιώτατα.
ταῦτ' οὖθ' ἕκαστα μᾶτερ, οὐχὶ πολυπλοκὰς
λόγων ἀθροίζας εἶπον, ἀλλὰ κἀν σοφοῖς,
κἀν τοῖσι φαύλοις ᾠδὴ ὡς ἐμοὶ δοκεῖ.
χο ἐμοὶ μὲν, εἰ κἀμὲ καθ' Ελλήνων χθόνα
πετράμεθ' ἀλλ' ὅμ ξυνετά μοι δοκεῖ λέγειν.
ἰτ Εἰ πᾶσι τοὐτὸ καλὸν ἔφυ, σοφόν θ' ἅμα,
» Οὐκ ἦν ἀμφίλεκτος ἀνθρώποις ἔρις.
» Νῦν δ' οὐδ' ὅμοιον οὐδὲν, ἀλλ' ἴσον βροτοῖς,
» Πλὴν ὀνομάσαι. τοσοῦτ' ἔργον οὐκ ἔστι τόδε.
ἐγὼ γὰρ οὐδὲν μᾶτερ ἀπεκρύψας, ἐρῶ.
ἄστρων ἀνέλθοι μ' ἡλίου πρὸς ἀνατολὰς,
κἀν γῆς φθορᾶν σύνατος ὢν πράσσαι τάδε,
τὴν θεῶν μεγίστην ὥστ' ἔχειν τυραννίδα.
τοῦτ' ὂν τὸ χρηστὸν μᾶτερ οὐχὶ βούλομαι,
ἄλλῳ παρεῖναι μᾶλλον, ἢ σώζειν ἐμοί.
» Ανανδρία γὰρ, τὸ πλέον ὅστις ἀπολέσας,
» Τὸ λοιπὸν ἔλαβε. πῶς δὲ τοῦσδ', αἰσχύνομαι
ἐλθόντα σὺν ὅπλοις τοῦσδε, καὶ πορόντα γῆν,
τυχεῖν ἃ χρήζει. τοῖς γὰρ Θήβαις τόδε
γένοιτ' ὄνειδος. εἰ μυκηναίοις δορὸς
φόβῳ παρείλω σκῆπτρα τἀμὰ τῷδ' ἔχειν.
χρὴ δ' αὐτὸν οὐχ ὅπλοισι τὰς διαλλαγὰς
» μᾶτερ ποιεῖσθ. Παῶν γὰρ ἐξαίρει λόγος,
» Ο καὶ σίδηρος πολεμίων δράσειεν ἄν.
ἀλλ' εἰ μὲν ἄλλως τοῦσδε γῆν οἰκεῖν θέλει,
ἔξεστ'. ἐκεῖνο δ' οὐχ ἑκὼν μεθήσομαι.
ἄρχειν πατρός μοι, τῷδε δουλεύσω ποτέ;
πῶς ταῦτ', ἴτω μοι πῦρ, ἴτω δὲ φάσγανα,

ζεύγνυθε

ζεύγνυθε δ' ἵππους, πεδία πέπλαθ' ἁρμάτων,
ὡς οὐ πρήσω τῷ δ' ἐμὴν τυραννίδα.
» Εἴπερ γὰρ ἀδίκειν χρὴ, τυραννίδος πέρι
» Κάλλιστον ἀδικεῖν. τἄλλα δ' εὐσεβεῖν χρεών.
χο Οὐκ εὖ λέγῃς χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς.
οὐ γὰρ καλὸν τοῦτ', ἀλλὰ τῇ δίκῃ πικρόν.
ιο Ω τέκνον οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ
» Ετεόκλεους πρόσεισιν, ἀλλ' ἡ μπφρίας
» Εχει τι λέξαι τῶν νέων σοφώτερον.
τί δ' ἦν κακιστὸν δαιμόνων ἐφέσαο
φιλοτιμίας τῆς; μὴ σύγ'. ἀδίκου δ' ἡ θεός.
πολλοὺς δ' ἐς οἴκους καὶ πόλεις σὺν δαίμονας
εἰσῆλθε, κἀξῆλθεν ἐπ' ὀλέθρῳ τῶν χρωμένων.
» ἐφ' ᾗ σὺ μαίνῃ. Κεῖνο κάλλιον τέκνον,
» Ισότητα τιμᾶν. ἡ φίλοις ἀεὶ φίλοις,
» Πόλει τε πόλεσι. ξυμμάχοις τε ξυμμάχοις
» Σωθεῖ. τὸ γὰρ ἴσον. νόμιμον ἀνθρώποις ἔφυ.
» Τῷ πλέονι δ' ἀεὶ πολέμιον κατίσταται
» Τοὐλάσσονος, ἐχθρὰς δ' ἡμέρας κατάρχεται.
» Καὶ γὰρ μέτρ' ἀνθρώποισιν ἡμέρᾳ σαθμῷ.
» Ισότυπος ἔταξε, κἀριθμὸν διώρισε.
» Νυκτός τ' ἀφεγγὲς βλέφαρον, ἡλίου τ', φῶς,
» Ισον βασίζειν τὸν φιλαύσιον κύκλον.
» Κοὐδὲν πλέον αὐτοῖν φθόνον ἔχει νικώμενον.
» Εἰθ' ἅλιον μὲν, νύξ τε διαλεύσῃ βροτοῖς.
σὺ δ' οὐκ ἀνίξῃ σώματος ἔχων ἴσον,
ἀλλ' ἀπονεῖμαι; κἄστα τῷδ' εἰμὶ ἡ δίκης;
τί τὴν τυραννίδ' ἀδίκως εὐδαίμονα
τιμᾶς ὑπερφυῶς, τὰ μὲν' ἄγαν τὸ δὲ;
τρίβολον ἐπαίρῃ τίμιον; κρύπτε μὲν οὖν.

ἢ πολλὰ

ἢ πολλὰ μοχθεῖν, πόλλ' ἔχων ἐν δώμασι
βούλει; τίδ' ἐστὶ τὸ πλέον; ὄνομ' ἔχει μόνον.
» ἐπεὶ τάγ' ἀρκοῦνθ'. ἱκανὰ τοῖσγε σώφροσιν.
» Οὔτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί.
» Τὰ τῶν θεῶν δ' ἔχοντες, ἐπιμελούμεθα.
» Οταν δὲ χρήζωσ' αὐτὰ, ἀφαιροῦνται πάλιν.
» Ο δ' ὄλβος, οὐ βέβαιος, ἀλλ' ἐφήμερος.
ἄγ', ἦν σ' ἔρωμαι δύο λόγους προθεῖσ' ἅμα.
πότερα τυραννεῖν, ἢ πόλιν σῶσαι θέλεις;
ἐρεῖς τυραννεῖν; ἢν δὴ νικήσῃ σ' ὅδε,
ἀργεῖά τ' ἔγχη δόρυ τὸ Καδμείων ἕλῃ,
ὄψει δαμασθὲν ἄστυ Θηβαίων τόδε.
ὄψει δὴ πολλὰς αἰχμαλωτίδας κόρας,
βίᾳ πρὸς ἀνδρῶν πολεμίων πορθουμένας.
ὀδυνηρὸς ἄρ' ὁπλοῦτος, ὃν ζητεῖς ἔχειν,
γενήσεται Θήβαισι φιλότιμος δὴ σύ.
σοὶ μὲν τάδ' αὐδῶ. σοὶ δὲ Πολύνεικες λέγω,
ἀμαθεῖς Ἄδραστος χάριτας εἴς σ' ἀνήψατο.
ἀσύνετα δ' ἦλθες καὶ σὺ πορθήσων πόλιν.
φέρ', ἢν ἕλῃς γῆν τήνδ', ὃ μὴ τύχοι ποτὲ,
πρὸς θεῶν, τρόπαια πῶς ἀναστήσεις δορός;
πῶς δ' αὖ κατάρξῃ θυμάτων ἑλὼν πάτραν,
καὶ σκῦλα γράψεις πῶς ἐπ' Ἰνάχου ῥοαῖς,
Θήβας πυρσῶσας, τάσδε Πολυνείκης θεοῖς
ἀσπίδας ἔθηκε; μή ποτ' ὦ τέκνον κλέος
τοιόνδε σοὶ γένοιτ' ἂν ὑφ' Ἑλλήνων λαβεῖν.
ἢν δ' αὖ κρατηθῇς, καὶ τὰ τοῦ δ' ὑπεκδράμῃ,
πῶς Ἄργος ἥξεις, μυρίους λιπὼν νεκρούς;
ἐρεῖ δὴ τις, ὦ κακὰ μνηστεύματα
Ἄδραστε προσθεὶς, δι' μιᾶς νύμφης γάμον
ἀπωλόμεσθα.

ἀπωλόμεσθα. δύω κακὼ σπεύδεις τέκνον,
κείνων στέρεσθαι, τῶνδέ τ' ἐν μέσῳ πεσεῖν.
μέθετον τὸ λίαν, μέθετον. ἀμαθία δυοῖν.
εἰς ταῦθ' ὅταν μόλητον, ἔχθιστον κακόν.
χο ὦ θεοί, γένοισθε τῶνδ' ἀπότροποι κακῶν,
καὶ ξύμβασίν τιν' Οἰδίπου τέκνοις δότε.
ἐτε μᾶτερ, οὐ λόγων ἔστ' ἀγών, ἀλλ' ἀνάλωται χρόνος
οὖν μέσω μάτην. περαίνει δ' οὐδὲν ἡ προθυμία.
οὐ γὰρ ἂν ξυμβαίμην ἄλλως. ἢ τὶ τοῖς εἰρημένοις.
ὥστε με σκήπτρων κρατοῦντα, τῆσδ' ἄνακτ' εἶναι
χθονός. τῶν μακρῶν δ' ἀπαλλαγεῖσα νουθετημάτων
καὶ σὺ τῶν δ' ἔξω κόμιζου τοιχέων, ἢ κατθανῇ (μ' ἔα
πο πρὸς τίνος; τίς δ' ὦ δ' ἄτρωτος, ὅστις ἡμᾶς ξίφος
φόνιον ἐμβαλὼν, τὸν αὐτὸν οὐκ ἀφίσεται μόρον;
ἐτε ἐγγύς. οὐ πρόσω βέβηκας, εἰς χεῖρας λεύσεις ἐμάς.
πο εἰσορῶ. Δειλὸν δ' ὁ πλοῦτος, ὦ φιλόψυχον κακόν.
ἐτε κᾆτα σὺν πολλοῖς ἦλθες πρὸς τὸν οὐδὲν ἐς μάχην;
πο Ἀσφαλὴς γάρ ἐστ' ἀμείνων, ἢ θρασὺς στρατηλάτης.
ἐτε κομπὸς εἰ σπονδαῖς πεποιθὼς, αἵσε σώζουσι θανεῖν
πο καὶ σέ δεύτερόν γ' ἀπαιτῶ σκῆπτρα, καὶ μέρη χθονός
ἐτε οὐκ ἀπαισούμεθ'. ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον.
πο τοῦ μέρους ἔχων τὸ πλεῖστον;
ἐτε φημί. ἀπαλλάσσου δὲ γῆς.
πο ὦ θεῶν βωμοὶ πατρῷοι. Ε. οὓς σὺ πορθήσων πάρει;
πο κλύετέ μου;
ἐτε τίς δ' ἂν κλύοι σου πατρίδ' ἐπεστρατευμένου;
πο καὶ θεῶν τῶν λευκοπώλων δώματα.
ἐτε οἱ στυγοῦσί σε. Π. ἐξελαυνόμεθα ἀπὸ πατρίδος.
ἐτε Καὶ γὰρ ἦλθες ἐξελῶν. Π. ἀδικίᾳ γε σῇ ὦ θεοί.
ἐτε Μυκήναις, μή' νθάδ' ἀνακάλει θεούς.
πο ἀνόσιος πέφυκας.

ἐτε ἀλλ' οὐ πατρίδος, ὡς σὺ πολέμιος.
πο ὅς μ' ἄμοιρον ἐξελάννεις;
ἐτε καὶ κατακτανῶ γε πρός.
πο ὦ πάτερ, κλύεις ἃ πάσχω;
ἐτε καὶ γὰρ οἷα δρᾷς κλύει.
πο καὶ σὺ μᾶτερ;
ἐτε οὐ θεμιτὸν σοι ματρὸς ὀνομάζειν κάρα.
πο ὦ πόλις.
ἐτε μολὼν ἐς Αργος, ἀνακάλει Λερνης ὕδωρ.
πο εἶμι. μὴ πόνει. σὲ δ' αἰνῶ μᾶτερ. Ε. ἔξιθι χθονός.
πο ἔξειμι. πατέρα δέ μοι δὸς ἰδεῖν. Ε. οὐκ ἂν τύχοις,
πο ἀλλὰ παρθένους ἀδελφάς. Ε. οὐδὲ τάσδ' ὄψει ποτέ.
πο ὦ κασίγνηται.
ἐτε τι τάυτας ἀνακαλεῖς γ' ἔχθιστος ὤν;
πο μᾶτερ, ἀλλὰ σύ μοι χαῖρε.
ἰο χαρτὰ γοῦν πάσχω τέκνον;
πο οὐκέτ' εἰμὶ παῖς σός.
ἰο εἰς πολλάγ' ἄθλια πέφυκ' ἐγώ.
πο ὅδε γὰρ εἰς ἡμᾶς ὑβρίζει.
ἐτε καὶ γὰρ ἀνθυβρίζομαι.
πο ποῦ ποτε σήσῃ πρὸ πύργων;
ἐτε ὡς τί μ' ἱστορεῖς τόδε;
πο ἀντιτάξομαι κτενῶν σε. Ε. κἀμὲ τοῦδ' ἔρως ἔχει.
ἰο ὦ τάλαιν' ἐγώ. τί δράσετ' ὦ τέκνα;
ἐτε αὐτὸ σημανεῖ.
ἰο πάτρος οὐ φεύξεσθ' Ερίννυς;
ἐτε ἔρρέτω πρόπας δόμος.
ἐτε ὡς τάχ' οὐκέθ' αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.
πο τὴν δὲ θρέψασάν με γαῖαν, καὶ θεοὺς μαρτύρομαι,
ὡς ἄτιμα οἰκτρὰ πάσχων, ἐξελάννομαι χθονός,

δοῦλος

δοῦλος ὡς, ἀλλ' οὐχὶ ταὐτοῦ πρὸς οἰδίπου γεγώς.
κἄν τι σοι πόλις γένηται, μήμε, τόνδ' αἰτιῶ.
οὐχ ἑκὼν γὰρ ἦλθον, ἄκων δ' ἐξελάννομαι χθονός.
καὶ σὺ φοῖβ' ἄναξ ἀγυιεῦ, καὶ μέλαθρα χαίρετε,
ἡλικές θ' οὗ μοι, θεῶν τε δεξί μηλ' ἀγάλματα.
οὐ γὰρ οἶδ' εἴ μοι προσειπεῖν αὖθις ἄσθ' ὑμᾶς ποτε.
ἐλπίδες δ' οὔπω καθεύδουσ', αἷς πέποιθα σὺν θε
τόνδ' ἀρκτείνας, κρατήσειν τῆσδε (οῖς
Θηβαίας χθονός.
ἐτε ἔξελθ' ἐκ χώρας. ἀληθῶς δ' ὄνομα Πολυνείκην
ἔθετό σοι θείᾳ προνοίᾳ, νεικέων ἐπώνυμον. (πῆρ
χο Κάδμος ἔμολε τάνδε γᾶν τύριος. ὦ τετρασκελὴς
μόσχος ἀδάμαστον πέσημα δίκε,
τελεσφόρον διδοῦσα
χρησμόν, οὗ κατῴκησε.
πεδία μὲν τὸ θέσφατον
πυροφόρα δόμων ἔχρησε,
καλλιπόταμος ὕδατος ἵνα τε
νοτίς ἐπέρχεται γαίας Δίρκας χλοηφόρους
καὶ βαθυσπόρους γύας. Βρόμιον ἔνθα τέκε
μάτηρ, Διὸς γάμοισι. κισσὸς ὃν περιστεφὴς
ἑλικτὸς, εὐθὺς ἔτι βρέφος χλοηφόροισιν ἔρνεσι
κατασκίοσιν ὀλβίσας, ἐνώτισε, Βακχεῖον χόρευμα
παρθένοισι Θηβαίαισι, καὶ γυναιξὶν Εὐβοίοις.
ἔνθα φόνιος ἦν δράκων Αρεος, ὠμόφρων φύλαξ,
νάματ' ἔνυδρα, καὶ ῥέεθρα
χλοερὰ δεργμάτων κόραισι
πολυπλάνοις ἐπισκοπῶν.
ὃν ἐπὶ χερνίβας μολὼν Κάδμος, ὤλεσε μαρμάρῳ,
κράτα φόνιον ὀλεσίθηρος ὠλέναις δικὼν βολαῖς,

δίας

δίας ἀμάτορος Παλλάδος φραδαῖσι,
γαπετεῖς δικὼν ὀδόντας εἰς Βαθυσπόρους γύας.
ἔνθεν ἐξανῆκε γᾶ πάνοπλον ὄψιν ὑπὲρ ἄκρων
ὅρων χθονός. σιδαρόφρων δέ νιν φόνος πάλιν ξυνῆψι
φίλᾳ γᾷ. αἵματος δ' ἔδευσε γαῖαν, ἅ νιν εὐηλίησι
δεῖξεν αἰθέρος πνοαῖς. καὶ σὲ τὸν προμάτορος
Ἰοῦς ποτ' ἔκγονον Ἐπαφον, ὦ Διὸς γένεθλον,
ἐκάλεσ' ἐκάλεσα Βαρβάρῳ Βοᾷ.
ἰὼ Βαρβάροις λιταῖς Βᾶθι Βᾶθι τάνδε γᾶν.
σοί νιν ἔκγονοι κτίσαν. ἃ δ' ἰώνυμοι θεὰ
Περσέφασσα, σὺ φίλα Δαμάτηρ θεὰ ἁπάντων,
ἄνασσ', ἁπάντων δὲ γᾶ τροφὸς ἐκτίσαντο,
πέμπε πυρφόρους θεὰς
ἀμῦναι τᾷδε γᾷ. Γάντα δ' εὐπετῆ θεοῖς.
ἐτε χώρει σύ, καὶ κόμιζε τὸν Μενοικέως
Κρέοντ', ἀδελφὸν ματρὸς Ἰοκάστης ἐμῆς,
λέγων τάδ', ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς
θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα,
πρὶν εἰς μάχην τε καὶ δορὸς τάξιν μολεῖν.
καίτοι ποδῶν σῶν μόχθον ἐκλύει παρών.
ὁρῶ γὰρ αὐτὸν πρὸς δόμους στείχοντ' ἐμούς.
κρέ ἦ πόλλ' ἐπῆλθον εἰσιδεῖν χρήζων σ' ἄναξ
Ἐτεόκλεες. πέριξ δὲ Καδμείων πύλας
φύλακάς τ' ἐπῆλθον, σὸν δέμας θηρώμενος.
ἐτε σὺ μὴν ἐγὼ σ' ἔχρηζον εἰσιδεῖν Κρέον.
πολλῶ γὰρ εὗρον, ἐνδεεῖς διαλλαγὰς,
ὡς εἰς λόγους. συνῆψα Πολινείκει μολών.
κρέ ἤκουσα μεῖζον αὐτὸν ἢ Θήβας φρονεῖν,
κήδει τ' Ἀδράστου, καὶ στρατῷ πεποιθέναι.
ἀλλ' εἰς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν.

ἅδ'

ἅδ' ἐμποδὼν μάλιστα, ταῦθ' ἥκω φράσων.
ἐτε τὰ ποῖα ταῦτα; τὸν λόγον γὰρ ἀγνοῶ.
κρέ ἥκει τις αἰχμάλωτος Ἀργείων πάρα.
κρέ λέγει δὲ δὴ τι τῶν ἐκεῖ νεώτερον;
κρέ μέλλειν περὶξ πύργοισι Καδμείων πόλιν
ὅπλοις ἑλίξειν αὐτίκ' Ἀργείων στρατόν.
ἐτε ἐξοιστέον τ' ἄρ' ὅπλα Καδμείων πόλει.
κρέ ποῖ; μῶν νεάζων οὐχ ὁρᾷς ἃ χρὴ σ' ὁρᾷν;
ἐτε ἐκτὸς τάφρων τῶνδ', ὡς μαχομένους τάχα.
κρέ σμικρὸν τὸ πλῆθος τῆσδε γῆς. οἵδ' ἄφθονοι.
ἐτε ἐγῷδα κείνους τοῖς λόγοις ὄντας θρασεῖς.
κρέ ἔχει τίν' ὄγκον Ἄργος Ἑλλήνων πάρα.
ἐτε θάρσει. τάχ' αὐτῶν πεδίων ἐμπλήσω φόνου,
κρέ θέλοι μ' ἄν. ἀλλὰ τοῦθ' ὁρῶ πολλοῦ πόνου.
ἐτε ὡς οὐ καθέξω τειχέων εἴσω στρατόν.
κρέ καὶ μὴν τὸ νικᾶν ἐστι πᾶν εὐβουλία.
ἐτε βούλει τράπωμαι δῆθ' ὁ δοὺς ἄλλας τινάς;
κρέ πάσασγε, πρὶν κίνδυνον εἰς ἅπαξ μολεῖν.
ἐτε εἰ νυκτὸς αὐτοῖς προσβάλοιμεν ἐκ λόχου;
κρέ εἴπερ σφαλεῖσγε, δεῦρο σωθήσῃ πάλιν.
ἐτε ἴσον φέρει νύξ. τοῖς δὲ τολμῶσι, πλέον.
κρέ Ἐνδευστυχῆσαι δινὸν εὐφρόνης κνέφας.
ἐτε ἀλλ' ἀμφὶ δεῖπνον οὖσι, προσβάλλω δόρυ;
κρέ ἔκπληξις ἂν γένοιτο. νικῆσαι δὲ δεῖ.
ἐτε βαθὺς δέ τοι δίρκαιος ἀναχωρεῖν πόρος.
κρέ Ἅπαν κάκιον τοῦ φυλάσσεσθαι καλῶς.
ἐτε τί δ' εἰς καθιππεύσαι μὲν Ἀργείων στρατῶν;
κρέ κἀκεῖ πέφρακται λαὸς ἅρμασι περὶξ
ἐτε τί δῆτα δράσω; πολεμίοισι δώσω πόλιν;
κρέ μὴ δῆτα. βουλεύου δ', ἐπείπερ εἶ σοφός.

i τίς οὖν

ἐτε τίς οὖν πρόνοια γίνεται σοφωτέρα;
κρέ ἑπτ' ἄνδρας αὐτοῖς φασιν ὡς ἤκουσ' ἐγώ.
ἐτε τί προστετάχθαι δρᾷν; τὸ γὰρ σθένος βραχύ.
κρέ λόχων ἀνάσσειν ἑπτὰ προσκεῖσθαι πύλαις.
ἐτε τί δῆτα δρῶμεν; ἀπρίαν γὰρ οὐ μενῶ.
κρέ ἑπτ' ἄνδρας αὐτοῖς καὶ σὺ πρὸς πύλαις ἑλοῦ.
ἐτε λόχων ἀνάσσειν, ἢ μονοστόλου δορός;
κρέ λόχων, προκρίνας οἵπερ ἀλκιμώτατοι.
ἐτε ξυνῆκ'. ἀμύνειν τειχέων πρὸς ἀμβάσεις.
κρέ καὶ ξυστρατηγός. Εἷς δ' ἀνὴρ, οὐ πάνθ' ὁρᾷ.
ἐτε θάρσει προκρίνας, ἢ φρενῶν εὐβουλίᾳ;
κρέ ἀμφότερον. ἀπλειφθὲν γὰρ οὐδὲν θάτερον.
ἐτε ἔσται τάδ'. ἐλθὼν δ' ἑπτάπυλον ἐς πόλιν,
τάξω λοχαγοὺς πρὸς πύλαισιν ὡς λέγεις,
ἴσους ἴσοισι πολεμίοισιν ἀντιθείς.
ὄνομα δ' ἑκάστου διατριβὴ πολλὴ λέγειν,
ἐχθρῶν ὑπ' αὐτοῖς τείχεσι καθημένων.
ἀλλ, εἶμ', ὅπως ἂν μὴ καταργῶμεν χέρα.
καί μοι γένοιτ' ἀδελφὸν ἀντήρη λαβεῖν,
καὶ ξυσταθέντα, διὰ μάχης ἑλεῖν δορί,
κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
γάμους τ' ἀδελφῆς Ἀντιγόνης, παιδός τε σοῦ
Αἵμονος, ἐάν τι τῆς τύχης ἐγὼ σφαλῶ,
σοὶ χρὴ μέλεσθαι. τὴν δόσιν τ' ἐχέγγυον
τὴν πρόσθε ποιῶ νῦν ἐπ' ἐξόδοις ἐμαῖς.
ματρὸς δ' ἀδελφὸς εἶ. τί δεῖ μακρηγορεῖν;
τρέφ' ἀξίως νιν, σοῦ τε τήν τ' ἐμὴν χάριν.
πατὴρ δ' ἐς αὑτὸν ἀμαθίαν ὀφλισκάνει,
ὄψιν τυφλώσας. οὐκ ἄγαν σφ' ἐπήνεσα.
ἡμᾶς τ' ἀραῖσιν ἣν τύχῃ, κατακτανεῖ.

ἐν δ'

ἐν δ' ἡμῖν ἀργὸν ἔστιν, εἴ τι θέσφατον
Οἰωνόμαντις Τειρεσίας ἔχει φράσαι,
τοῦδ' ἐκπυθέσθαι ταῦτ'. ἐγὼ δὲ παῖδα σὸν
Μενοικέα, σοῦ πατρὸς ἀντεπώνυμον,
λαβόντα πέμψω δεῦρο Τειρεσίαν Κρέον,
σοὶ μὲν γὰρ ἡδὺς ἐς λόγους ἀφίξεται.
ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην
ἤδη πρὸς αὐτὸν, ὥστε μοι μομφὰς ἔχειν.
πόλει δὲ καὶ σοὶ ταῦτ' ἐπισκήπτω Κρέον.
ἧνπερ κρατήσῃ τἀμὰ, Πολυνείκους νέκυν
μή ποτε ταφῆναι τῇδε Θηβαίᾳ χθονί.
θνήσκειν δὲ τὸν θάψαντα, κἂν φίλων τις ᾖ.
σοὶ μὲν τάδ' αὐδῶ. προσπόλοις δ' ἐμοῖς λέγω,
ἐκφέρετε τεύχη, πάνοπλάτ' ἀμφιβλήματα,
ὡς εἰς ἀγῶνα τὸν προκείμενον δορὸς
ὁρμῶμεν ἤδη ξὺν δίκῃ νικηφόρῳ.
τῇδ' εὐλαβείᾳ χρῆσι μωτάτῃ θεῶν,
προσευξόμεσθα τήνδε διασώζειν πόλιν.
Χο ὦ πολύμοχθος Ἄρης, τί πόθ' αἵματι
καὶ θανάτῳ κατέχῃ, Βρομίου πρὰ
μουσος ἑορταῖς; οὐκ ἐπὶ καλλιχόροις στεφάνοισι
νεάνιδος ὥραις, βόστρυχον ἀμπετάσας λωτοῦ,
καταπνεύματα μέλπῃ
μοῦσαν, ἐν ᾇ χάριτες χαροποιοί;
ἀλλὰ σὺν ὁπλοφόροις στρατὸν Ἀργείων
ἐπιπνεύσας, αἵματι Θήβας
κῶμον ἀναυλότατον προχορεύεις.
οὐδ' ὑπὸ θυρσομανεῖ νεβρίδων μέτα δινεύεις
ἅρμασι καὶ ψαλίων τετραβάμοσι,
μώνυχα πώλων, Ἰσμηνοῦ ἐπὶ χεύμασι βαίνων,

ἱππείαισι θοάζεις, Ἀργείους ἐπιπνδύσας,
ἀσπαρτῶν γόνναν, ἀσπιδφόρμονα βίαοσον γῶ-
ὠπτάλον ἡμ] λάϊνα τείχεα (πλον,
χαλκῷ κοσμήσας. ἦ σεινά τις ἔσις θεός, ἃ τάδε
μήσατο πήματα γᾶς Βασιλδῦσι
Λαβδακίδαις πολυμόχθοις.
ὦ ζαθέων πετάλων πολυθρόταφον.
νάπος Ἀρτέμιδος, χιονότροφον
ὄμμα Κιθαιρῶν, μή ποτε γᾶν βαιάτῳ πδοτεβώντα
λόχῳ μ' Ἰοκάσης,
ὤφελες Οἰδίποδα βρέψαι, βρέφ-
ἐκβολον οἴκων, χρυσδέτοις πόρπαις ἐπίζαμον,
μὴ δὲ τὸ παρθένιον πῆρον ἄρσιον
πέρας ἐλθεῖν, πγθεὰ γαίας
Σφιγγὸς ἀμφιστάταισι σὺν ᾠδαῖς.
ἄποτε καγμογενῆ, τετραβάμοσι χηλαῖς
τείχεσι χριμπτομένα, φέρων ἀιθέρ-
ἐς ἄβατον φῶς γόνναν, ἆμ ὁ κατα χθόνιος ἀίδας
Καδμείοις ἐπιπέμπει.
δυσδαίμων δ' ἔσις ἄλλα θάλλει παίδων
Οἰδίποδος ἡμ] δώματα, καὶ πόλιν.
» Οὐ γὰρ ὁ μὴ καλόν, ὅ ποτ' ἔφυ καλόν,
» Οὐδ' οἱ μὴ νόμιμοι παῖδες πατρὶ λόχυμα,
» Μίασμα πατρός,
» Ηδὲ, σύναιμον εἰς λέχος ἦλθον.
ἔτεκες ὦ γᾶ, ἔτεκες ποτε
Βάρβαρον, ὡς ἀηδᾶν
ἐλάαν ἐλάαν πότ' ἐν οἴκοις,
πᾶν ἀκὴ θιροτρόφω
φοινικολόφοιο δράκοντος

γόνναν

γόνναν ὀδυκφυῆ,
Θήβαις κάλλιστον ὄνειδος.
Ἁρμονίας δέ ποτ' εἰς ὑμεναίους
ἦλθον θρανίδαι. φόρμιγί τε
τείχεα Θήβας
τᾶς Ἀμφιονίας τε λύρας
ὕπο, πύργος ἀνέστα
διδύμων ποταμῶν πόρον ἀμφὶ μέσον
Δίρκας, χλοεροτρόφου, ἃ πεδίον
πρόπαρ Ἰσμηνὸν καταδύει.
Ἰὼ δ', ἃ κόρεσσα πθομάτωρ
Καδμείων Βασιλῆας ἐγείνατο,
μυελάδας δ' ἀγαθῶν
ἑτέρας ἑτέροις μεταμειβομένα
πόλις ἄδ' ἐπ' ἄκροις
ἔστακ' ἀρκίοις σεφάνοισιν.
τε ἦγε πθοπάροιθε βύγατερ, ὡς τυφλῷ ποδὶ
ὀφθαλμὸς εἶ, σὺ ναυβάταισιν ἄστρον ὡς.
δδὸν εἰς τὸ λδυρὸν πεδίον ἴχνος πθεῖσ' ἐμόν,
πρόβαινε, μὴ σφαλῶμεν. ἀδυγνὶς πατήρ.
κλῆρός τέ μοι φύλασσε παρθένω χερί,
ὃς ἔλαβον οἰωνίσματ' ὀρνίθων μαθών,
βάκτροισιν ᾧ ἱδροῖσιν, ὃ μαντδύομαι.
τέκνον Μγνοικδῦ. παῖ Κρέοντος, ἐπέμοι
πόσις τίς ἦ πλοίπος ἄστεος ὁδῖς,
πῶς πατρὸς τὸν σὸν, ὡς τὸ μὴν κάμνει γόνυ.
πυκνὸν δὲ βαίνων ἤλυσιν μόλις πδῶ.
πρὲ βάρσει. πέλας γὰρ τειρσίας, φίλοισι σοῖς
» ἐξώρμησα σὸν ποδα. λαβοῦ δ' αὐτὸς τέκνου.
» ὡς γᾶς ἄπαυν, πός τε πρισδύτε, φιλεῖ

» Χθρὸς θυραίας ἀναμίγνυσθαι κακοῖς.
τει εἶεν. πάρεσμεν. τί με καλεῖς ὦ σῶν τέκνων Κρέων;
κρέ ὅπως λελήσομεν'. ἀλλὰ σύλλεξαι φρένας,
καὶ πυθοῦ μ' ἄθροισον, ἅττα σ' ἐκβαλὼν ὁδὸν
τει κόπῳ πάρειμι γῆν Ἐρεχθειδῶν ἄπο
σὴν δ' ἐκπομπεῖς τῆς πάροιθεν ἡμέρας.
καὶ κεῖ γὰρ ἦν ἡμῖν πόλεμος σὺν ὅπλοις δορός,
ἀλλ' ἐκράτησε Κεκροπίδας ἔθνη τ' ἐγώ.
ἀλλ' τόνδε χρυσοῦν στέφανον ὡς ὁρᾷς ἔχω,
λαβὼν ἀπαρχὰς πολεμίων σκυλευμάτων.
κρέ οἰωνὸν εὐθέμην καλοῦμαι καὶ σέ φημι.
ἐγὼ γοῦν κλύσωνι κεἰ μεθ' ὧσπερ οἶδα σύ,
δορὸς Δαναϊδῶν. καὶ μέγας Θήβαις ἀγών.
βασιλεὺς μὲν οὖν Βέβυγκε κοσμηθεὶς ὅπλοις,
ἄλλη πῶς ἀλκὴν Ἐτεοκλῆς μυκηνίσας.
ἐμοὶ δ' ἐπέστελλ' ἐκμαθεῖν σέθεν πάρα,
τί δρῶντες ἂν μάλιστα σώσαιμεν πόλιν.
Ἐτεοκλέης μὲν οὖν ἕνεκ' ἂν πλείστας τόμας,
τει χρησμὸς ἐπέσχον. σοὶ δ' ἐπεὶ χρῄζεις μαθεῖν,
λέξω. νοσεῖ γὰρ ἥδε γῆ πάλαι Κρέοντ,
ἐξ οὗ τεκνώθη Λαΐου βίᾳ θεῶν,
πόσιν τ' ἔφυσε ματρὶ μέλεον Οἰδίπουν.
ἃ δ' ἀμαθῶς ἀμαθοῖ δόλῳ δόλιαι φοραὶ
θεῶν σόφισμα, κἀπίστευσις Ἑλλάδι.
ἃ συγκαλύψαι παῖδες Οἰδίπου χρόνῳ
χρῄζοντες, ὡς δὴ θεὸς ἐτανεκβραμόμενος,
ἥμαρτον ἀμαθῶς. ὅτε γὰρ γέρας πατρὶ,
ὅτ' ἔξοδον δόντες ἄνδρα δυσυχῆ
ἐξηγρίωσαν. ἐκδ' ἔπυθο' αὐτοῖς ἀρὰς
δεινὰς, νοσῶν τε, καὶ πῶς ἀτιμασθήσεται
ἃ γὼ τί δρῶν, ὁπῦα δ' ἃ λέγων ἔπη,

εἰς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου;
ἐγὼ δὲ θάνατος αὐτόχειρ αὐτοῖς Κρέων.
πολλοὶ δὲ νεκροὶ πρὸς νεκροῖς πεπτώκοτες,
ἀργεῖα καὶ καδμεῖα μίξαντες βέλη,
πικρὸς γόος δώσουσι θηβαίᾳ χθονί.
σύ τ' ὦ τάλαινα συγκατασκάπτῃ πόλει,
εἰ μὴ λόγοισι τοῖς ἐμοῖς τις πείσεται.
ἐκεῖνο μὲν γὰρ πρῶτον ἐν τῷ Οἰδίπου,
μηδένα πολίτων, μήδ' ἄνακτ' εἶναι χθονός,
ὡς δαιμονῶντας, κἀνατρέψαντας πόλιν.
» Ἐπεὶ ἦ κρεῖσσον τὸ κακοῦν ὅτι τἀγαθὸν,
μί' ἔστιν ἄλλη μηχανὴ σωτηρίας.
ἀλλ' ὅ γὰρ εἰ πεῖν δόξ' ἐμοὶ τόδ' ἀσφαλὲς,
» Γικρόν τε τοῖσι τλῶ τύχῳ κεκτημένοις,
» Πόλει πρᾶξαι φάρμακον σωτηρίας.
ἄπειμι. χαίρετ'. εἰς γὰρ ὤν, πολλῶν μέτα
τὸ μέλλον εἰ χρὴ πείσομαι. τί γὰρ πάθω;
κρέ ἐπίσχες αὐτὸ πρόσθεν. .Τ. μὴ πλαμβάνε.
κρέ μεῖνον. τί φεύγεις; .Τ. ἡ τύχη σ', ἀλλ' ἐγώ.
κρέ φράσον πολίταις, καὶ πόλει σωτηρίαν.
κρέ βάλει σὺ μὴν οἱ, κοὐχὶ βαλοῦσα τάχα.
κρέ καὶ πῶς, πατρῴαν γαῖαν ὃ σώσαι θέλων;
τει θέλεις ἀκοῦσαι δῆτα, ὦ ἀσεβὲς ἔχεις;
κρέ εἰς γὰρ τί μ' ἄλλο δεῖ πρόθυμίαν ἔχειν;
τει κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων.
πρῶτον δ' ἐκεῖνο βούλομαι σαφῶς μαθεῖν,
πρὸς τί Μυκηνεὺς, ὃς με δοῦρ' ἐπήγαγεν.
κρέ ὃδ' ὁ μακρὰν ἄπεστι. πλησίον δέ σου.
τει ἀπελθέτω νῦν θεσφάτων ἐμῶν ἑκάς.
κρέ ἐμὸς πέφυκεν, ἀλλ' ὅ δεῖ σιγᾶσθαι.

τει βούλει παρόντος δῆτά σοι τοῦτο φράσω;
κρέ κλύων γὰρ ἂν τέρποιτο τῆς σωτηρίας.
τει ἄκουε δὴ νῦν θεσφάτων ἐμῶν ὁδόν,
ἃ δρῶντες ἂν σώσαιτε Καδμείων πόλιν.
σφάξαι Μενοικέα τόνδε δεῖ σ' ὑπὲρ πάτρας
σὸν παῖδ', ἐπειδὴ τὴν τύχην αὐτὸς καλεῖς.
κρέ τί φῄς; τίν' εἶπας τόνδε μῦθον ὦ γέρον;
τει ἅπερ πέφυκε, ταῦτα κἀνάγκη σε δρᾷν.
κρέ ὦ πολλὰ λέξας ἐν βραχεῖ χρόνῳ κακά.
τει σοίγ' ἀλλὰ πατρίδι μεγάλα, καὶ σωτήρια.
κρέ οὐκ ἔκλυον. οὐκ ἤκουσα. χαιρέτω πόλις.
τει ἀνὴρ ὅδ' οὐκέτ' αὐτὸς ἐκνεύει πάλιν.
κρέ χαίρων ἴθ'. οὐ γὰρ σῶν με δεῖ θεσπισμάτων.
τει ἀπόλωλεν ἡ ἀλήθει, ἐπεὶ σὺ δυστυχεῖς;
κρέ ὦ πρὸ σὲ γονάτων, καὶ γερασμίου τριχός.
τει τί πρὸς πιτνεῖς με; δυσφύλακτ' αἰτῇ κακά.
κρέ σίγα. πολίταις τούσδε μὴ λέξῃς λόγους.
τει ἀδικεῖν κελεύεις μ'; οὐ σιωπήσαι μ' ἄν.
κρέ τί δή με δράσεις; παῖδά μου κατακτανεῖς;
τει ἄλλοις με λήσει ταῦτ', ἐμοὶ δ' εἰρήσεται.
κρέ ἐκ τοῦδ' ἐμοὶ τόδ' ἦλθε καὶ τέκνῳ κακόν.
τει ὀρθῶς μ' ἐρωτᾷς, κεἰς ἀγῶν ἔρχῃ λόγων.
δεῖ τόνδε θαλάμοις, οὗ δράκων ὁ γηγενὴς
ἐγένετο Δίρκης ναμάτων ἐπίσκοπος
σφαγέντα, φόνιον αἷμα γῇ δοῦναι χρὰς,
Κάδμου παλαιῶν Αρεος ἐκ μηνιμάτων,
ὃς γηγενεῖ δράκοντι ἡμωρεῖ φόνον.
καὶ ταῦτα δρῶντες, σύμμαχον κτήσασθ' Αρην.
χθὼν δ' ἀντὶ καρποῦ, καρπὸν ἀντὶ θ' αἵματος.
αἷ μ' ἢν λάβῃ βρότειον, ἕξετ' εὐμενῆ

γῆν, ἣ ποθ' ὑμῖν χρυσοπήληκα στάχυν
σπαρτῶν ἀνῆκεν. ἐκ γένους δὲ δεῖ θανεῖν
τοῦδ', ὃς δράκοντος γένυος ἐκπέφυκε παῖς.
σύδ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους,
ἀκέραιος, ἔκ τε ματρὸς, ἀρσένων τ' ἄπο,
οἱ σοί τε παῖδες. Αἵμονος μὲν οὖν γάμοι
σφαγὰς ἀπείργουσ', οὐ γάρ ἐστιν ἠίθεος.
κεἰ μὴ γὰρ εὐνῆς ἥψατ' ἀλλ' ἔχει λέχος.
οὗτος δὲ πῶλος τῇδ' ἀνειμένος πόλει,
θανὼν, πατρῷαν γαῖαν ἐκσώσειεν ἄν.
πικρὸν δ' Αδράστῳ νόστον, Αργείοισί τε
θήσει, μέλεαν κῆρ' ἐπ' ὄμμασι βαλὼν,
κλεινάς τε Θήβας τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν
τὸν ἕτερον. ἢ γὰρ παῖδα σῶσον, ἢ πόλιν.
τὰ μὲν παρ' ἡμῶν, πάντ' ἔχεις. ἡγοῦ τέκνον
πρὸς οἶκον. ὅστις δ' ἐμπύρῳ χρᾶται τέχνῃ,
μάταιος. ἢν μὲν γὰρ ἐχθρὰ σημῆνας τύχῃ,
πικρὸς καθέστη χ' οἷς ἂν οἰωνοσκοπῇ.
ψευδῆ δ' ὑπ' οἴκτου τοῖσι χρωμένοις λέγων,
» ἀδικεῖ τὰ τῶν θεῶν. φοῖβον ἀνθρώποις μόνον
» Χρὴν θεσπιῳδεῖν, ὃς δέδοικεν οὐδένα.
χρ Κρέον, τί σιγᾷς γῆρυν ἄφθογγον σχάσας
κἀμοὶ γὰρ οὐδὲν ἧττον ἔκπληξις πάρα.
κρέ τί δ' ἂν ἧς εἴποι; δῆλον οἵγ' ἐμοὶ λόγοι.
ἐγὼ γὰρ οὔ ποτ' εἰς τόδ' εἶμι συμφορᾶς,
ὥστε σφαγέντα παῖδα. προσθεῖναι πόλει.
» Πᾶσι γὰρ ἀνθρώποισι φιλότεκνος βίος.
» Οὐδ' ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν.
» Μή μ' εὐλογείτω τἀμά τις κτείνων τέκνα.
αὐτὸς δ', ἐν ὡραίῳ γὰρ ἵσταμαι βίῳ,

θνήσκειν ἕτοιμός εἰμι, πατρίδος ἐκλυτήριον.
ἀλλ' εἶα τέκνον, πρὶν μαθεῖν πᾶζαν πόλιν,
ἀκόλας ἐάσας μάντεων θεσπίσματα,
φθῦγ' ὡς τάχιστα πῆσδ' ἀπαλλαγεὶς χθονός.
λέξει γὰρ ἀρχὰς ἡμῖν στρατηλάτας τάδε,
πύλας ἐφ' ἑπτὰ, καὶ λοχαγέτας μολών.
κἂν μὲν φθάσωμεν, ἔστι σοι σωτηρία.
ἢν δ' ὑστρήσης, οἰχόμεθα, κατθανῇ.

μη ποῖ δῆτα φθύγω; τίνα πόλιν; τίνα ξένων;
κρέ ὅπου χθονὸς πῆσδ' ἐκποδὼν μάλις' ἔσῃ.
με ἀκὴν σε φράζῃ εἰκὼς, ἐκπονεῖν δ' ἐμέ.
κρέ Δελφοὺς πόρασας, φθῦγε.
με πῇ με χρὴ πάτερ μολεῖν;
κρέ Αἰτωλίδ' ἐς γῆν .Μ. ἐκ δὲ τῆσδε, ποῖ πορῶ;
κρέ Θεσπρωτῶν ὅδ' ἄς. Μ. σεμνὰ Δωδώνης βάθρα;
κρέ ἔγνως. .Μ. τί δ' ἦτ' ἐρυμά μοι γενήσεται;
κρέ πόμπιμος ὁ δαίμων .Μ. χρημάτων ἦ τίς πόρος;
κρέ ἐγὼ πορδύσω χρυσόν. .Μ. εὖ λέγεις πάτερ.
κρέ χώρει νῦν. .Μ. ὡς σὺν πρὸς κασιγνήτῃ μολών.
ἧς πρῶτα μὲν σὺ εἵλκυσ', Ἰοκάστης λέγω,
μητρὸς σφρηθείς, ὀρφανός τ' ἀφ' ὑγείας,
προσηγορήσω σῖμ', ἢν πόλιν σώσω.
κρέ ἀλλ' εἶα, χώρει. μὴ τὸ σὸν κωλύετω.
με γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβου,
κλέψας λόγοισιν, ὥσθ' ἃ βάλομαι τυχεῖν.
ὃς ἐκνομίζει πόλεως ἀφ' ἑστερῆν τύχης,
ἁλιλίᾳ δίδωσι. καὶ σύγγνωστα μὲν
γέροντι, τὸ μὴ δ' ἐχὶ συγγνώμην ἔχει,
προδότην γενέσθαι πατρίδος, ἣ μ' ἐγείναο.
ὡς δ' ἡμῖν εὐπλοῦς ἔμπα, καὶ σώσω πόλιν.

ψυχλω δ' ὅλωσω πῆσδ' ὑποστρωφᾶν χθονός,
» Αἰσχρὸν γὰρ οἱ μὲν θεσφάτων ἐλεύθεροι,
» Κἀκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι,
» Στάντες παρ' ἀσπίδ' ἐκ δόκησιν θανεῖν,
» Πύργων πάροιθε μαχόμενοι πατρὰς ὑπὲρ,
» Ἐγὼ δ' πατέρα καὶ κασίγνητον πόλιν,
» Πόλιν τ' ἐμαυτὸν δειλὸς ὢν, ἔξω χθονὸς
» Ἅπει μ'. ὅπου δ' ἀὴν ζῶ, καινὸς φανήσομαι.
δι μὰ τὸν μυστ' ἄστρων ζυγὸν, Ἄρεώ τε φόνιον,
ὃς τοὺς ὑποστείλαντας ἐκ γαίας ποτὲ
ὑπερτέλους ἄνακτας πῆσδε γῆς ἐβούλετο.
ἀλλ' εἶμι. καὶ σὰς ἐξ ἐπάλξεων ἄκρων,
σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ
δράκοντος, ᾧθ' ὁ μάντις ἐξηγήσατο,
ἐλευθερώσω γαῖαν. εἰρηται λόγος.
σείχω δ' θανάτῳ δῶρον ἐκ ἀεχρεῖν πολὺ
σώσων, νόσῳ δὲ τὴνδ' ἀπαλλάξω χθονός.
» Εἰ γὰρ λαβὼν ἕκαστος ὅ, τι δύναιτό τις
» Χρησὸν, δι' ἔλθοι τοῦτο, κεἰς κοινὸν φέροι
» Πατρίδι, κακῶν ἄμ' αἱ πόλεις ἐλασσόνων
» Πειρῶντο, πολλοὶ πολὺν δύτυχοῖεν ἄν.
ἐβας ἐβας ὦ πῆδον γᾶς λόχευμα
νυμφεῖόν τ' Ἐχίονας Καδμείων ἄρπαγᾶς,
πολύσπορος, πολύφθορος, μιξοπάρθενος,
δαΐου τέρας,
φοιτᾶσι πτερωτοῖς
χαλαῖσί τ' ὠμοσίτοις
Διρκαίων. ἃ ποτ' ἐκ πόντου
πῶν νέος πτεροῦται
σ' ἄλυρον ἀμφὶ μοῦσαν.

ὀλομένην τ' Ἐριννῦν
ἔφερες ἔφερες ἄχεα πατρίδι
φόνια, φόνιος ἐκ θεῶν.
ὃς τάδ' ἦν ὁ πράξας.
ἰάλε μοι δὲ ματέρων,
ἰάλε μοι δὲ παρθένων
ἐστένατον οἴκοις.
ἤον Βοΐαν.
ἤιον μέλος.
ἄλλος ἄλλον ἐπωτότυζε διαδοχαῖς ἀνὰ πτόλιν.
Βροντᾷ δὲ στεναγμὸς,
ἰαχά τ' ἦν ὅμοιος,
ὁπότε πόλεως ἀφανίσειεν
ἁπτερῶτα παρθένος τιν' ἀνδρῶν.
χρόνῳ δ' ἔβα πυθίαις ἀκτολαῖσιν
Οἰδίπους ὁ τλάμων
Θηβαίαν τάνδε γᾶν
τότ' ἀσμένοις. πάλιν δ' ἄχη.
ματρὶ γὰρ γάμους δυσγάμους ὁ τάλας
καλλίνικος ὢν,
αἰνιγμάτων συνάπτει.
μιαίνει δὲ πόλιν.
δι' αἱμάτων δ' ἀμείβει
μυσαρὸν εἰς ἀγῶνα καταβαλὼν ἀραῖσι
τέκεα μέλεος. ἀγάμεθ', ἀγάμεθα.
ὃς ἐπὶ θάνατον οἴχεται γᾶς ὑπὲρ πατρῴας,
Κρέοντι μὲν λιπὼν γόους,
τὰ δ' ἐπτάπυργα κλεῖθρα γᾶς
καλλίνικα θήσων. γενοίμεθα δ' ὦ
δὲ ματέρες, γενοίμεθ' εὖτε

κνοιφίλαι.

κνοιφίλαι. Γαλλὰς, ἃ δράκον
τος αἷμα λιθόβολον
κατειργάσω, Καδμείαν μέριμναν
ὁρμήσασ' ἐπ' ἔργον.
ὅθεν ἐπέσσυτο τάνδε γᾶν,
ἁρπαγαῖσι δαιμόνων τις ἄτα.
ἄγ ὠὴ, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;
ἀνοίγετ' ἐκπορεύετ' Ἰοκάστην δόμων.
ὠὴ μάλ' αὖθις. δὰ μακρῶ μὲν, ἀλλ' ὅμως
ἔξελθ' ἄκουσον Οἰδίπου κλεινὴ δάμαρ,
λήξασ' ὁδυρμῶν πενθίμων τε δακρύων.
ἰο ὦ φίλτατ', ἦπου ξυμφορὰν ἥκεις φέρων,
Ἐτεοκλέους θανόντος; οὗ παρ' ἀσπίδα
Βέβηκας ἀιεὶ, πολεμίων εἴργων Βέλη.
τί μοι πόθ' ἥκες καινὸν ἀγγέλλων ἔπος;
τέθνηκεν, ἢ ζῇ παῖς ἐμός; σήμαινέ μοι.
ἄγ ζῇ. μὴ τρέσῃς τόδ' ὡς ἀπαλλάξω φόβου.
ἰο τί δ', ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί;
ἄγ ἑστᾶσ' ἄθραυστοι, κοὐκ ἀνήρπασται πόλις.
ἰο ἦλθον δὲ πρὸς κίνδυνον ἀργείου δορός;
ἄγ ἀκμήνγ' ἐπ' αὐτήν. ἀλλ' ὁ Καδμείων Ἄρης
κρείσσων κατέστη τοῦ μυκηναίου δορός.
ἰο ἓν εἰπὲ πρὸς θεῶν, εἴ τι Πολυνείκους πέρι
οἶσθ', ὡς μέλει μοι καὶ τόδ', εἰ λεύσσει φάος.
ἄγ ζῇ σοι ξυνωρὶς εἰς τόδ' ἡμέρας τεκνῶν.
ἰο εὖδαι μονοίης. πῶς γὰρ Ἀργείων δόρυ
πυλῶν ἀπεστήσασθε πυργηρούμενοι;
λέξον, γέροντα τυφλὸν ὡς κατ' στέγας
ἐλθοῦσα τέρψω. τῆσδε γῆς σεσώσμενης.
ἄγ ἐπεὶ Κρέοντος παῖς ὁ γῆς ὑπερθανὼν,

πύργων

πύργων ἐπ' ἄκρων στὰς μελάνδετον ξίφος,
λαιμὸν διῆκε τῆσδε γῆς σωτήριον,
λόχους ἐνεῖ μὲν ἑπτὰ, καὶ λοχαγέτας
πύλας ἐφ' ἑπτὰ, φύλακας ἀργείου δορὸς,
σὸς παῖς ἐφέδρους. ἱππότας μὲν ἱππόταις
ἔταξ', ὁπλίτας δ' ἀσπιδιφόροις ἔπι,
ὡς ἐν νοσοῦντι τειχέων εἴη δορὸς
ἀλκή. δι' ὀλίγου περγάμων τ' ἀπ' ὀρθίων,
λεύκασπιν εἰσορῶμεν Αργείων στρατὸν
Τελμησὸν ἐκλιπόντα. Ἐ τάφρου πέλας
δρόμῳ ξυνῆψεν ἄστυ καδμείας χθονός.
παιὰν δὲ καὶ σάλπιγγες ἐκελάδουν ὁμοῦ
ἐκεῖθεν, ἔκ τε τειχέων ἡμῶν πάρα.
καὶ πρῶτα μὲν προσῆγε νηΐταις πύλαις
λόχον πυκναῖσιν ἀσπίσι πεφρικότα,
ὁ τῆς κυναγοῦ παρθενοπαῖος ἔγγονος,
ἐπίσημ' ἔχων οἰκεῖον ἐν μέσῳ σάκει
ἑκηβόλοις τόξοισιν, ἀταλάντην κάπρον
χειρουμένην αὐτωλόν. εἰς δὲ προιτίδας
πύλας ἐχώρει, σφάγι' ἔχων ἐφ' ἅρματι
ὁ μάντις Αμφιάραος, οὐ σημεῖ' ἔχων
ὑβρισμέν'. ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα.
ὠγύγια δ' εἰς πυλώμαθ' ἱππομέδων ἄναξ
ἕστηκ', ἔχων σημεῖον ἐν μέσῳ σάκει,
στικτοῖς πανόπτην ὄμμασι δεδορκότα.
τὰ μὲν, σὺν ἄστρων ἐπιτολαῖσιν ὄμματα
βλέποντα, τὰ δὲ, κρύπτοντα δυνόντων μέτα,
ὡς ὕστερον θανόντος εἰσορᾷν παρῆν.
ὁμολωΐσι δὲ τάξιν εἶχε πρὸς πύλαις
Τυδεὺς, λέοντος δέρος ἔχων ἐπ' ἀσπίδος

χαίτῃ

χαίτῃ πεφρικός. δεξιᾷ δ' λαμπάδα
τιτὰν Προμηθεὺς ἔφερεν ὡς πρήσων πόλιν.
ὁ σὸς δὲ κρηναίσι Πολυνείκης πύλαις
Αρην προσῆγε. ποτνιάδες δ' ἐπ' ἀσπίδι
ἐπίσημα πῶλοι δρομάδες ἐσκίρτων φόβῳ,
εὖ πως στρόφιγξί γ' ἐνδόδεν κυκλούμεναι
πόρπαχ' ὑπ' αὐτὸν, ὥστε μαίνεσθαι δοκεῖν.
ὁ δ' οὐκ ἔλασσον Αρεος εἰς μάχην φρονῶν
Καπανεὺς, προσῆγε λόχον ἐπ' ἠλέκτραις πύλαις
σιδηρονώτοις δ' ἀσπίδος τύποις ἐπῆν,
γίγας ἐπ' ὤμοις γηγενὴς ὅλην πόλιν
φέρων, μοχλοῖσιν ἐξανασπάσας βίᾳ
ὑπόνοιαν ἡμῖν, οἷα πείσεται πόλις.
ταῖς δ' ἑβδόμαις Αδραστος ἐν πύλαισιν ἦν,
ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ
Υδρας, ἔχων λαιοῖσιν ἐν βραχίοσιν
ἀργεῖον αὐχημ'. ἐκ δὲ τειχέων μέσων,
δράκοντες ἔφερον τέκνα Καδμείων γνάθοις.
παρῆν δ' ἑκάστῳ τῶν δέμοι θεάματα,
ξύνθημα παρφέροντι ποιμέσι λόχων.
καὶ πρῶτα μὴ τόξοισι Ἐ μεταγκύλοις
ἐμαρνάμεσθα, σφενδόναις θ' ἑκαβόλοις,
πετρῶν τ' ἀραγμοῖς. ὡς δ' ἐνικῶμεν μάχῃ,
ἔκλαγξε Τυδεὺς, καὶ σὸς ἐξαίφνης γόνος.
ὦ τέκνα Δαναῶν, πρὶν κατεξάνθαι βολαῖς,
τί μέλλετ' ἄρδην πάντες ἐμπίπτειν πύλαις,
γυμνῆτες ἱππεῖς, ἁρμάτων τ' ἐπιστάται;
ἠχῆς δ' ὅπως ἤκουσαν, ἀργὸς οὔτις ἦν.
πολλοὶ δ' ἔπιπτον κράτας αἱματούμενοι.
ἡμῶν δ' ἐς οὖδας, εἶδες ἂν πρὸ τειχέων

πυκνοὺς

πυκνοὺς κυβιστητῆρας ἐκπεπνευκότας.
ξηρὰν δ' ἔδευον γαῖαν αἵματος ῥοαῖς.
ὅδ' ἀρκὰς οὐκ ἀργεῖος Ἀταλάντης γόνος
τύφος πύλαισιν ὥς τις ἐμπεσὼν, Βοᾷ
πῦρ ⊂ δίκελλαν, ὡς κατασκάψων πόλιν.
ἀλλ' ἔσχε μαργῶν τ' αὐτὸν ἐναλίου θεοῦ
Περικλύμενος παῖς, λᾶαν ἐμβαλὼν κάρα
ἁμαξοπληθῆ, γεῖσσ' ἐπάλξεων ἄπο.
ξανθὸν δὴ κρᾶτα διεπάλυνε, καὶ ῥαφὰς
ἔρρηξεν Ὀστέων. ἄρτι δ' οἰνωπὸν γένυν
καθημάτωσεν. οὐδ' ἀχρίσεται βίον
τῇ καλλιτόξῳ ματρὶ, Μαινάλου κόρῃ.
ἐπεὶ δὲ τάσδ' ἐσεῖδεν εὐτυχεῖς πύλας,
ἄλλας ἐπῄει παῖς σός, εἰπόμην δ' ἐγώ.
ὁρῶ δὲ Τυδέα καὶ παρασπιστὰς πυκνοὺς
Αἰτωλοῖσι λόγχαισιν εἰς ἄκρον στόμα
πύργων ἀκοντίζοντας ὥστ' ἐπάλξεων
λιπεῖν ἐρίπνας φυγάδας. ἀλλά νιν πάλιν
κυναγὸς ὡσεὶ παῖς σὸς ἐξαθρόιζεται.
πύργοις δ' ἐπέστησ' αὖθις. εἰς δ' ἄλλας πύλας
ἠπειγόμεσθα, τοῦτο πάυσαντες νοσοῦν.
Καπανεὺς δὲ πῶς εἴποι μ' ἂν ὡς ἐμαίνετο;
μακραύχενος γὰρ κλίμακος πρὸς ἀμβάσεις
ἔχων ἐχώρει. καὶ τοσόνδ' ἐκόμπασε,
μήδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργάθειν Διός,
τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν.
⊂ ταῦθ' ἅμ' ἠγόρευε, καὶ πετρούμενος,
αὖ εἰρφ' ὑπ' αὐτὴν ἀσπίδ' εἱλίξας δέμας,
κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα.
ἤδη δ' ὑπερβαίνοντα γεῖσσα τειχέων,

βάλλει κεραυνῷ Ζεύς νιν. ἐκτύπησε δὲ
χθὼν, ὥστε δεῖσαι πάντας. ἐκ δὲ κλιμάκων
ἐσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη.
κόμαι μὲν εἰς ὀλυμπον, αἷμα δ' εἰς χθόνα.
χεῖρες δὴ καὶ κῶλ' ὡς κύκλωμ Ἰξίονος
ἑλίσσετ'. εἰς τήνδ' ἔμπυρος πίπτει νεκρός.
ὡς δ' εἶδ' Ἀδραστος Ζῆνα πολέμιον στρατῷ,
ἔξω τάφρου καθεῖσεν Ἀργείων στρατόν.
οἱ δ' αὖ παρ' ἡμῶν δεξιὸν Διὸς τέρας
ἰδόντες, ἐξήλαυνον ἁρμάτων ὄχους
ἱππεῖς ὁπλῖται. κεἰς μέσ' Ἀργείων ὅπλα.
ξυνῆψαν ἔγχη.. πάντα δ' ἦν ὁμοῦ κακά.
ἔθνησκον, ἐξέπιπτον ἀντύγων ἄπο.
τροχοί τ' ἐπήδων, ἄξονές τ' ἐπ' ἄξοσι.
νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ' ὁμοῦ
πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
εἰς τὴν παροῦσαν ἡμέραν. εἰ δ' εὐτυχὴς
ἔσται τολοιπὸν ἥδε γῆ, θεοῖς μελεῖ.
» Καλὸν τὸ νικᾶν εἰ δ' ἀμείνον' οἱ θεοὶ
γνώμην ἔχοιεν, εὐτυχὴς εἴην ἐγώ.
ἰο καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει.
παῖδές τε γάρ μοι ζῶσι, κἀπέφευγε γῆ.
Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων,
τῶν τ' Οἰδίπου δύστηνος ἀπλαῦσαι κακῶν;
παιδὸς στερηθεὶς, τῇ πόλει μὲν εὐτυχῶς,
ἰδίᾳ δὲ λυπρῶς. ἀλλ' ἄνελθέ μοι πάλιν.
τί τἀπὶ τούτοις παῖδ' ἐμὼ δρασείετον;
ἄγ ἔα τὰ λοιπὰ δεῦρ'. ἀεὶ γὰρ εὐτυχεῖς.
ἰο τοῦτ' εἰς ὕποπτον εἶπας. οὐκ ἐατέον.
ἄγ μεῖζον ἢ χρήζεις, ἢ παῖδας σεσωσμένους.

ἰο καὶ τἀπίλοιπάγ' εἰ καλῶς πράσσω κλύειν.
ἄγ μέθες μ'. ἔρημος παῖς ὑπ' ἀσπιστοῦ σέθεν.
ἰο κακόν τι κεύθεις, καὶ στέγεις ὑπὸ σκότῳ,
ἄγ κοὐκ ἄνγε λέξαι μ' ἐπ' ἀγαθοῖσι σοῖς κακά.
ἰο εἰ μήγε φεύγω ἐκφύγῃς πρὸς αἰθέρα.
ἄγ αἴ. αἴ. τί μ' οὐκ εἴασας ἐξ εὐαγγέλου
φήμης ἀπελθεῖν, ἀλλὰ μηνύσαι κακά;
τὼ παῖδε τὼ σὼ μέλλετον τολμήματα
αἴσχιστα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
λέξαντες Αργείοισι, Καδμείοισί τε
εἰς κοινὸν, οἷον μήποτ' ὤφελον λόγον.
Ετεοκλῆς προὐπῆρξ' ἀπ' ὀρθίου σταθεὶς
πύργου, κελεύσας σῖγα κηρύξαι στρατῷ.
ἔλεξε δ', ὦ γῆς Ελλάδος στρατηλάτη.
Δαναῶν ἀριστεῖς, οἵπερ ἤλθετ' ἐνθάδε,
Κάδμου τε λαός, μή ποτε Πολυνείκους χάριν
ψυχὰς ἀπεμπολᾶτε, μεθ' ἡμῶν ὕπερ.
ἐγὼ γὰρ αὐτὸς τόνδε κίνδυνον μεθεὶς,
μόνος συνάψω συγγόνῳ καθ' μῷ μάχην.
κἂν μὲν κτάνῳ τόνδ', οἶκον οἰκήσω μόνος.
ἡσσώμενος δὲ, τῷδε παραδώσω πόλιν.
ὑμεῖς δ' ἀγῶν' ἀφέντες Αργείαν χθόνα,
νίσεσθε, βίοτον μὴ λιπόντες ἐνθάδε.
Σπαρτῶν δὲ λαὸς ἅλις, ὅσος κεῖται θανών.
τοσαῦτ' ἔλεξ'. ὁσὸς δὲ Πολυνείκης γόνος,
ἐκ τάξεων ὄρουσε, κἀπῄνει λόγους.
πάντες δ' ἐπερρόθησαν Αργεῖοι τάδε,
Κάδμου τε λαὸς, ὡς δίκαι' ἡγούμενοι.
ἐπὶ τοῖσι δ' ἐσπείσαντο, κἂν μεταιχμίοις
ὅρκους συνῆψαν ἐμμένειν στρατηλάτας.

ἤδη δ'

ἤδη δ' ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
δισσοὶ γέροντος Οἰδίπου νεανίαι.
φίλοι δ' ἐκόσμουν τῆσδε μὲν πρόμον χθονὸς,
Σπαρτῶν ἀριστεῖς. τὸν δὲ, Δαναιδῶν ἄκροι.
ἔσταν δὲ λαμπρὼ, χρώματ' οὐκ ἠλλαξάτην,
μαργῶντ' ἐπ' ἀλλήλοισιν ἰέναι δόρυ.
παρεξιόντες δ' ἄλλοι ἄλλοθεν φίλων,
λόγοισι θαρσύνοντες, ἐξηύδων τάδε.
Πολυνείκες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας
τρόπαιον, Αργεῖ τ' εὐκλεᾶ δοῦναι λόγον.
Ετεοκλέα δ' αὖ, νῦν πόλεως ὑπὲρ μαχεῖς,
νῦν καλλίνικος γενόμενος, σκῆπτρον κρατεῖς
τάδ' ἠγόρευον παρακαλοῦντες εἰς μάχην.
μάντεις τε μῆλ' ἔσφαζον. ἐμπύρους δ' ἀκμὰς,
ῥήξεις τ' ἐνώμων ὑγρότητ' ἐναντίαν.
ἄκραν τε λαμπάδ', ἢ δυοῖν ὅρους ἔχει,
νίκης τε σῆμα, καὶ τὸ τῶν ἡσσωμένων.
ἀλλ' εἴτιν' ἀλκὴν, ἢ σοφοὺς ἔχεις λόγους,
ἢ φίλτρ' ἐπῳδῶν, στεῖχ' ἐρήτυσον τέκνα
δεινῆς ἁμίλλης, ὡς ὁ κίνδυνος μέγας,
καὶ τἆθλα δεινὰ, δάκρυά σοι γενήσετε.
δισσοῖν στερήσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.
ἰο ὦ τέκνον ἔξελθ' Ἀντιγόνη δόμων πάρος.
οὐκ ἐν χορείαις, οὐδ' ἐν παρθενεύμασι
νῦν σοι προχωρεῖ δαιμόνων κατάστασις,
ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν,
εἰς θάνατον ἐκνεύοντε, κωλύσαι σε δεῖ
ξὺν ματρὶ τῇ σῇ, μὴ πρὸς ἀλλήλοις θανεῖν.
αὐ τίν' ὦ τεκοῦσα μᾶτερ ἔκπληξον νέαν
φίλοις ἀϋτεῖς τῶνδε δωμάτων πάρος;

 ὦ θύγατερ

ἰὼ ὦ θύγατερ, ἔρρει σῶν κασιγνήτων βίος.
ἀν ὠὼ εἶπας; .Ι. ἀϊχμὴν εἰς μίαν καθέσαρεν.
ἀν οἰ ἐγώ. τί λέξεις μᾶτερ; .Ι. ὦ φίλ'. ἀλλ' ἔπου.
ἀν ποῖ παρθενῶνας ἐλιπὲς; .Ι. ἀνὰ στρατόν.
ἀν ἀσθόμεθ' ὄχλον. .Ι. ἐκ γὰρ αἰχμᾶς τὰ σά.
ἀν φράσω δὲ δὴ τί; .Ι. συγγόνων λύσεις ἔριν.
ἀν τί φῶ δ' ἄρα μᾶτερ; .Ι. πρόσωπον σὸν ἐμὸν μέτα.
ἀν ἐγὼ σὺ πῶς μεταίχμι. ὦ μέλεπτέον.
ἀν ἔπειγ', ἔπιγε θύγατερ. ὡς ἦν μὴν φθάσῳ
πάλας πρὸ λόγχης, οὗ μὸς γὰρ φάει βίος.
ἦν δ' ὑσρήσης, οἰχόμεθα. κατθανῆ
θανεῖσι δ' αὐχὶς, σωθανεῖσα κείσομαι.
αἰ αἰ αἰ αἰ, τρομερὰν φείκαν,
τρομερὰν φρένα ἔχω.
αἰ, ἔ. δόμα σέρνα δ' ἐμάν.
χο ἔλεος ἔλεος ἐμολὲ ματρὸς δειλαίας,
δύσνυμα τέκνα, πότερος ἆρα
πότερον αἱμάξει. ἰώ μοι πόνων.
ἰὼ ζεῦ. ἰὼ γᾶ δέραν,
ὁμογενᾶ ψυχὰν, δὶ ἀπίδων, δὶ αἱμάτων.
τάλαιν' ἐγὼ, τάλαινα.
πότερον ἆρα νέκυν ὀλόμενον ἰαχήσω;
φεῦ δά. φεῦ δά. δύσνυμοι θῆρες, φόνιαι ψυχαὶ,
δύει παλλόμεναι,
πέσετα πέσετα,
δαΐα αὐτίχ' αἱμάξετον.
πάλαιες, ὅτι ποτε μονομάχου
ἐπὶ φρεν' ἐπηλυθετίων.
Βοᾷ βαρβάρῳ σφακτὰν ἰαχὰν
μελομελίαν νεκροῖς,

δάκρυσι

δάκρυσι θρηνήσω.
χαλεπὸν τύχα πέλας φόνου
κείνει φάος τὸ μέλλον.
ἄπτομος ἄπτομος ὁ φόνος
ἔνεκεν ἐρινύων.
ἀλλὰ γὰρ Κρέοντα λύσω τόνδε δόλιον σωτεφῆ
πῶς δόμους σείχοντα. πάυσω τὸς παρεσῶτας λό-
κρέ οἶμοι, τί δράσω; πότερ' ἐμαυτὸν, ἢ πόλιν (γους
σφῶν δακρύσας, ἵν' πλεῖστ' ἔχει νέφος
κοιδὸν, ὥστε δὶ ἀχέροντος ἴεναι;
ἐμός τι γὰρ πᾶς γῆς ὅλωλ' ὑπορθανών,
τὄνομα λαβὼν γυναῖον, ἀνιαρὸν δ' ἐμοί.
ἐν ἅρπ κρημνῶν ἐκ δρακοντείων ἑλών,
αὐτοσφαγῆ δύσπνουν ἐκόμισ' ἐν χεροῖν.
Βοᾷ ὁ δῶμα παῦ. ἐγὼ δ' ἥλιω μετασέλλων
ἀδελφὼ ἰοκάσιν, ὅπως
λάσῃ, πρόθυτά τ' ἄλετ' ἄντα πᾶσ' ἐμόν.
» Τοῖς γὰρ θανοῦσι χρὴ τὸν τεθνηκότα
» Τιμᾶς δίδοντα, χθόνιον σέβειν θεόν.
χο Βέβυκ' ἀδελφὴ σὴ δόμων ἔξω Κρέοντ
κόρη τε ματρὸς Ἀνδρομάχη κοινῷ ποδί.
κρέ ποῖ, κἀπὶ ποίᾳ συμφορᾷ; σήμαινέ μοι.
χο ἥλιος τέκνα μονομάχω μέλῃ δορί
εἰς ἀπίδ' ἥξειν βασιλείων δόμων ὕπερ.
κρέ πῶς φῄς; νέλιπε κοὐ παιδὸς ἀγαπάζων ἐμοῦ,
κἀκεῖς τόδ' ἦλθον, ὥστε τῷδε εἰσιδέσθαι;
ἀλλ' οἴκτειρόν μὲν σὴ κασιγνήτη πάλαι.
δείλαιον δ' ἀγῶνα τὸν περὶ ψυχῆς Κρέοντ,
ἢ δὴ πεπρᾶχθαι παισὶ τοῖσιν οἰδίπου.
κρέ οἴμοι, τὸ μὲν σπέρμ' εἰσορῶ τόδε,

σκυθρωπὸν ὄμμα, καὶ πρόσωπον ἀγγέλου
στείχοντος. ὃς ἡμῖν ἀγγελεῖ τὸ δρώμενον.
ἄγ ὦ τάλας ἐγὼ, τίν' εἴπω μῦθον, ἢ τίνα λόγον;
κρέ οἰχόμεσθ'. οὐκ εὐπροσώποις φροιμίοις ἀρχὴ λόγου.
ἄγ ὦ τάλας, δισσῶς ἀϋτῶ. μεγάλα γὰρ φέρω κακά.
κρέ πῶς πεπραγμένοις ἄλλοις πήμασι, λέγεις δὲ τί;
ἄγ οὐκέτ' εἰσὶ τῆς ἀδελφῆς παῖδες ἐν φάει Κρέον.
κρέ ἒ αἴ. μεγάλα μοι θροεῖς πάθεα, καὶ πόλει.
ἄγ ὦ δώματ' εἰσακούσατ' Οἰδίπου τάδε
παίδων ὁμοίαις συμφοραῖς ὀλωλότων;
χο ὥστ' ἐκδακρύσαιγ', εἰ φρονοῦντ' ἐτύγχανον.
κρέ οἴμοι ξυμφορᾶς βαρυποτμοτάτας.
οἴμοι κακῶν δύστηνος. ὦ τάλας ἐγώ.
ἄγ εἰ καὶ τὰ πρὸς τούτοισιν εἰδείης κακά.
κρέ καὶ πῶς γένοιτ' ἂν τῶνδε δυσποτμότερα;
ἄγ τέθνηκ' ἀδελφὴ σὴ, δυοῖν παίδοιν μέτα.
χο ἀνάγετ', ἀνάγετε κωκυτὸν,
ἐπὶ κρᾶτά τε λευκοπήχεις κτύπους χεροῖν.
κρέ ὦ τλῆμον οἷον τέρμα Ιοκάστη βίου,
γάμων τε τῶν σῶν Σφιγγὸς αἰνιγμοὺς ἔτλης.
καὶ πῶς πέπρακται δι' πτύχων παίδων φόνος,
ἀρᾶς τ' ἀγώνισμ' Οἰδίπου; σήμαινέ μοι.
ἄγ τὰ μὲν πρὸ πύργων εὐτυχήματα χθονὸς,
οἶσθ'. οὐ μακρὰν γὰρ τειχέων περιπτυχαί.
ὥστ' οὐχ ἅπαντά σ' εἰδέναι τὰ δρώμενα.
ἐπεὶ δὲ χαλκείοις σῶμ' ἐκόσμησαν ὅπλοις
οἱ τοῦ γέροντος Οἰδίπου νεανίαι,
ἔστησαν ἐλθόντ' εἰς μέσον μεταίχμιον
δισσὼ στρατηγὼ, καὶ διπλὼ στρατηλάτα,
ὡς εἰς ἀγῶνα μονομαχοῦντ' ἀλκὴν δορός.

Βλέψας δ' ἐς Αργος, ἧκε Πολυνείκης ἀράς.
ὦ πότνια Ηρα, σὸς γὰρ εἰ μ', ἐπεὶ γάμοις
ἔζευξ' Αδράστου παῖδα, καὶ ναίω χθόνα,
δός μοι κτανεῖν ἀδελφὸν, ἀντήρη δ' ἐμὴν
καθαιματῶσαι δεξιὰν νικηφόρον.
αἴσχιστον αἰτῶ στέφανον, ὁμογενῆ κτανεῖν.
πολλοῖς δ' ἐπήει δάκρυα τῆς τύχης ὅση.
κἄβλεψαν ἀλλήλοισι, διαδόντες κόρας.
Ετεοκλέης δ', Παλλάδος χρυσάσπιδος
Βλέψας πρὸς οἶκον, ἠχετο. ὦ Διὸς κόρη,
δὸς ἔγχος ἡμῖν καλλίνικον ἐκ χερὸς
εἰς στέρν' ἀδελφοῦ τῆσδ' ἀπ' ὠλένης βαλεῖν,
κτανεῖνθ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
ἐπεὶ δ' ἀφείθη πυρσὸς ὡς τυρσηνικῆς
σάλπιγγος ἠχὴ, σῆμα φοινίου μάχης,
ἤϊξαν δρόμημα δεινὸν ἀλλήλοις ἔπι.
κάπροι δ' ὅπως θήγοντες ἀγρίαν γένυν,
ξυνῆψαν ἔγχη, ἀφρῷ διάβροχοι γενειάδας.
ἤϊσσον δὲ λόχαις. ἀλλ' ὑφίζανον κύκλοις,
ὅπως σίδηρος ἐξολισθαίνοι μάτην.
εἰ δ' ὄμμ' ὑπερσχὸν ἴτυος ἄτερος μάθοι,
λόγχην ἐνώμα στόματι προφθῆναι θέλων.
ἀλλ' εὖ προσῆγον ἀσπίδων κεγχρώμασιν,
ὀφθαλμὸν ἀργὸν, ὥστε γίνεσθαι δόρυ.
πλείων δὲ τοῖς ὁρῶσιν ἐστάλαξ' ἱδρὼς,
ἢ τοῖσι δρῶσι διὰ φίλων ὀρρωδίαν.
Ετεοκλέης δὲ, ποδὶ μεταψαίρων πέτρον,
ἴχνους ὑπόδρομον κῶλον ἐκτὸς ἀσπίδος
τίθησι. Πολυνείκης δ' ἀπήντησε δορί,
πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰσιδών.

κνήμην δὲ διεπέρασεν ἀργεῖον δόρυ.
στρατὸς δ' ἀνηλάλαζε Δαναϊδῶν ἅπας.
κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν
ὁ πρόσθε τρωθεὶς, στέρνα Πολυνείκους βίᾳ
δίηκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις ἀκὴ δ' ἔθραυσ' ἄκρον δόρυ.
ὡς δ' ἄπορον ἥκων δορὸς ἐπὶ σκέλος πάλιν
χωρεῖ λαβὼν δ' ἀφῆκε μάρμαρον πέτρον.
μέσον δ' ἄκοντ' ἔθραυσεν. ἐξ ἴσου δ' Ἄρης
ἦν, κάμακος ἀμφοῖν χεῖρ' ἀκρεσθημένοις.
ἔνθεν δὴ κώπας ἁρπάσαντες φασγάνων,
εἰς ταὐτὸν ἧκον συμβαλόντε δ' ἀσπίδας,
πολὺν ταραγμὸν ἀμφιβάντ' εἶχον μάχης.
καί πως νοήσας Ἐτεοκλῆς, τὸ θεσσαλὸν
εἰ σήγαγε σόφισμ' ὁμιλίᾳ χθονός.
ἐξαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
λαιὸν μὲν εἰς τοὔπισθεν ἀμφέρει πόδα,
πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος.
προβὰς δὲ κῶλον δεξιὸν, δι' ὀμφαλοῦ
καθῆκεν ἔγχος, σφονδύλοις τ' ἐνήρμοσεν.
ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας,
σὺν αἱματηραῖς σταγοσι Πολυνείκης πιτνεῖ.
ὁδ' ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχῃ,
ξίφος δικὼν ἐς γαῖαν, ἐσκύλευε νιν,
τὸν νοῦν πρὸς αὐτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
ὁ καί νιν ἔσφιλ'. ἔτι γὰρ ἐμπνέων βραχὺ,
σώζων σίδηρον ἐν λυγρῷ πεσήματι,
μέλις μὲν, ἐξέτεινε δ' εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους, ὁ πρόσθε Πολυνείκης πεσών.
γαῖαν δ' ὁδὰξ ἑλόντες, ἀλλήλων πέλας

πίπτουσιν

πίπτουσιν ἄμφω, κοὐ διώρισαν κράτος,
χο φεῦ. φεῦ. κακῶν σῶν Οἰδίπου, ὁ ὢν στένω.
κρέ τὰς σὰς δ' ἀρὰς ἔοικεν ἐκπλήσειν θεός.
ἄγ ἄκουε, δὴ νῦν καὶ τὰ πρὸς τούτοις κακά.
ἐπεὶ τέκνω πεσόντ' ἐλιπέτην βίον,
ἐν τῷδε μήτηρ ἡ τάλαινα προσπιτνεῖ,
σὺν παρθένῳ τε καὶ προθυμίᾳ ποδός.
τετρωμένους δ' ἰδοῦσα καιρίους σφαγὰς,
ὤμωξεν. ὦ τέκν', ὑστέρα βοηδρόμος
πάρειμι. προσπιτνοῦσα δ' ἐν μέρει, τέκνα
ἔκλαι', ἐθρήνει τὸν πολὺν μαστῶν πόνον,
στένουσ'. ἀδελφὴ θ' ἡ παρασπίζουσ'. ὁμοῦ.
ὦ γηροβοσκὼ ματρὸς, ὦ γάμους ἐμοὺς
προδόντ' ἀδελφὼ φιλτάτω. στέρνων δ' ἄπο
φύσιν μ' ἀνεὶς δὺς τλήτον Ἐτεοκλῆς ἄναξ,
ἤκουσε ματρός. κἀπιθεὶς λυγρὰν χέρα,
φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ' ἄπο
προσεῖπε δακρύοις, ὥστε σημῆναι φίλα.
ὁδ' ἦν ἔτ' ἔμπνους. πρὸς κασιγνήτην δ' ἰδὼν,
γραῖάν τε μητέρα, εἶπε Πολυνείκης τάδε,
ἀπωλόμεσθα μᾶτερ οἰκτείρω δέ σε,
καὶ τήνδ' ἀδελφὴν, καὶ κασίγνητον νεκρόν.
φίλος γὰρ, ἐχθρὸς ἐγένετ'. ἀλλ' ὅμως φίλος.
θάψον δέ μ' ὦ τεκοῦσα, καὶ σὺ σύγγονε
ἐν γῇ πατρῴᾳ. καὶ πόλιν θυμουμένην
παρηγορεῖτον. ὡς τοσόνδε δὴ τύχω
χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.
ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερὶ
μᾶτερ τίθησι δ' αὐτὸς ὀμμάτων ἐπι.
καὶ χαίρετ'. ἤδη γάρ με περιβάλλει σκότος.

 ἄμφω

ἄμφω δ' ἅμ' ἐξέπνευσαν ἄθλιον βίον.
μήτηρ δ' ὅπως εἰσεῖδε τήνδε συμφοράν,
ὑπερπαθήσασ', ἥρπασ' ἐκ νεκροῦ ξίφος,
κἄπραξε δεινὰ δὰ μέσου γὰρ αὐχένος
ὠθεῖ σίδηρον. ἐν δὲ τοῖσι φιλτάτοις
θανοῦσα κεῖται, περιβαλοῦσ' ἀμφοῖν χέρας.
αὐήϊξε δ' ὀρθὸς λαὸς εἰς ἔριν λόγων.
ἡμεῖς μὲν, ὡς νικῶντα δεσπότην ἐμὸν,
οἵδ' ὡς ἐκεῖνον. ἦν δ' ἔρις στρατηλάταις,
οἱ μὲν, πατάξαι πρόσθε Πολυνείκην δορὶ,
οἵδ' ὡς θανόντων, οὐδαμοῦ νίκη πέλοι.
καὐ τῷδ' ὑπεξῆλθ' Ἀντιγόνη στρατοῦ δίχα.
οἵδ' εἰς ὅπλ' ἤϊσσον. εὖ δέ πως προμηθείᾳ
καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι.
κἄφθημεν οὔπω τεύχεσι πεφραγμένον
ἀργεῖον εἰσπεσόντες ἐξαίφνης στρατόν.
κοὐ δεὶς ὑπέστη πεδία δ' ἐξεπίμπλασαν
φεύγοντες. ἔῤῥει δ' αἷμα μυρίων νεκρῶν,
λόγχαις πιτνόντων. ὡς δ' ἐνικῶμεν μάχῃ,
οἱ μὲν, Διὸς τρόπαιον ἵσταν βρέτας.
οἵδ' ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν,
σκυλεύματ' εἴσω τειχέων ἐπέμπομεν.
ἄλλοι δὲ τοὺς θανόντας Ἀντιγόνης μέτα
νεκροὺς φέρουσιν ἐνθάδ' οἰκτίσαι φίλους.
πόλει δ' ἀγῶνες, οἱ μὲν, εὐτυχέστατοι
τῇδ' ἐξέβησαν, οἱ δὲ, δυστυχέστατοι.
ΧΟ οὐκ εἰς ἀκοὰς ἔτι δυστυχία δωμάτων ἥκει.
πάρα γὰρ λεύσσειν πτώματα νεκρῶν
τρισσῶν ἤδη τάδε πρὸς μελάθροις,
κοινῷ θανάτῳ σκοτίαν αἰῶνα λαχόντων.

αὐ ὀ πρὸ σκαλυπτομένα βοστρυχώδεος
ἁβρὰ παρηΐδος, οὐδ' ὑπὸ παρθενίας
τὸν ὑπὸ βλεφάροις φοίνικ' ἐρύθημα
προσώπου, αἰδουμένα φέρομαι βάκχα νεκύων,
κράδεμνα δικοῦσα κόμας ἀπ' ἐμᾶς,
στολίδα κροκόεσσαν ἀνεῖσα τρυφᾶς
ἁγεμόνευμα νεκροῖσι πολύστονον. αἴ. αἴ.
ἰώ μοι μοι ὦ Πολύνεικες, ἔφυς ἄρ' ἐπώνυμος.
ᾤ μοι μοι Θῆβαι. σὰ δ' ἔρις, οὐκ ἔρις,
ἀλλὰ φόνῳ φόνος Οἰδίποδα δόμον ὤλεσε
κρανθεὶς αἵματι δεινῷ, αἵματι λυγρῷ.
τίνα προσῳδὸν,
ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ δάκρυσι
δάκρυσιν ὦ δόμος δόμος ἀνακαλέσομαι,
τρισσὰ φέρουσα τάδ' αἱ μαλιτὰ σύγγονα,
ματέρα, καὶ τέκνα, χάρματ' Ἐριννύος;
ἃ δόμον Οἰδιπόδαο πρόπαν ὤλεσε,
τᾶς ἀγρίας ὅτε δυσξυνέτου
ξυνετὸν μέλος ἔγνω,
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας. ἰώ μοι πάτερ.
τίς Ἑλλὰς, ἢ βάρβαρος, ἢ τῶν προπάροι
θεῶν εὐγενετᾶν ἕτερος ἔτλα κακῶν τόσων,
δι' αἵματος ἁμερίου τοιάδ' ἄχεα φανερά;
τάλαιν' ὡς ἐλελίζει τις ἄρ' ὄρνις
δρυὸς, ἢ ἐλάτας ἀκροκόμοις ἀμφὶ κλάδοις
ἑζομένα μονομάτερος
ὀδυρμοῖς ἐμοῖς, ἄχεσι συνῳδός.
αἴλινον αἰάγμασιν, ἃ τοῖσδε προκλαίω.
μόνα δ' αἰῶνα διάξωσα τὸν ἀεὶ χρόνον,
ἐν λειβομένοισι δακρύοισιν ἰαχήσω.

τίν' ἐπὶ πρῶτον ἀρχαίτας σπαραγμοῖς
ἀπαρχὰς βαλῶ, ματέρος ἐμᾶς ἐν διδύμοις
γάλακτος πρὰ μαστοῖσιν,
ἢ πρὸς ἀδελφῶν ὀλόμην ἀικίσματα νεκρῶν;
ὀττοτοί. λεῖπε σὸς δόμους,
ἀλαὸν ὄμμα φέρων πάτερ γεραιὲ,
δεῖξον Οἰδίπου σὸν αἰῶνα μέλεον. ὃς ἐπὶ δώμα-
ἀέριον σκότον ὄμμασιν σοῖσι βαλὼν, (σιν
ἕλκεις μακρόπνουν ζωάν.
κλύεις ὦ κατ' αὐλὰν ἀλαίνων
γεραιὸν πόδα δεμνίοις δύστανον ἰάνων;
οἰδί τί μ' ὦ παρθένε βακτρεύμασι τυφλοῦ
ποδὸς ἐξάγαγες εἰς φῶς
λεχήρη σκοτίων ἐκ θαλάμων
οἰκτροτάτοισι δακρύοισι,
πολιὸν αἰθέρος ἀφανὲς εἴδωλον,
ἢ νέκυν ἔνερθεν, ἢ πτανὸν ὄνειρον;
ἀν δυστυχὲς ἀγγελίας ἔπος οἴσω.
πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
φάος, οὐδ' ἄλοχος. ἃ πρὰ βάκτροις.
πόδα σὸν τυφλόπου θεραπεύμασιν
αἰὲν ἐμόχθει πάτερ. ὤ μοι.
οἰδί ὤ μοι μοι ἐμῶν παθέων.
πάρα γὰρ στενάχειν, τάδ' ἀϋτεῖν,
τρισσαὶ ψυχαὶ, ποίᾳ μοίρᾳ.
πῶς ἔλιπον φάος; ὦ τέκνον αὔδα.
ἀν οὐκ ἐπ' ὀνείδεσιν, οὐδ' ἐπὶ χάρμασιν,
ἀλλ' ὀδύναισι λέγω. ὁ σὸς ἀλάστωρ
ξίφεσι βρίθων, καὶ πυρὶ, καὶ σχετλίαισι μάχαις,
ἐπὶ παῖδας ἔβα σοὺς ὦ πάτερ

ἰώ μοι

οἰδί ἰώ μοι. αἴ. αἴ.. Α. τί τάδε καταστένεις;
οἰδί τέκνα. .Α. δι' ὀδύνας ἔβας
εἰ τὰ τέθριππάγ' ἐς ἅρματα λεύσσων
ἀελίου τάδε σώματα νεκρῶν
ὄμματος αὐγαῖς σαῖς ἐπενώμας.
οἰδί τῶν μὲν ἐμῶν τεκέων, φανερὸν κακόν.
ἃ δὲ τάλαιν' ἄλοχος, τίνι μοι τέκνον ὤλετο μοίρᾳ;
ἀν δάκρυα γοερὰ φανερὰ πᾶσι τεθειμένα
τέκεσι μαστὸν ἔφερεν ἔφερεν,
ἱκέτις ἱκέταν αἰρομένα.
εὗρε δ' ἐν ἠλέκτραισι πύλαις τέκνα
λωτοτρόφον κατὰ λείμακα λόγχαις
κοινὸν ἐνυάλιον μήτηρ, ὥστε λέοντας ἐναύλους
μαρναμένους ἐπὶ τραύμασιν αἵματος.
ἤδη ψυχρὰν λοιβὰν φονίαν, ἃν ἔλαχ' ἀΐδας,
ὤπασε δ' Ἄρης.
χαλκόκροτον δὲ λαβοῦσα νεκρῶν πάρα
φάσγανον, εἴσω σαρκὸς ἔπεμψεν. ἄχει δὲ τέκνων
ἀμφὶ τέκνοισι. (ἔπεσ'
πάντα δ' ἐν ἤματι τῷδε συνάγαγεν ὦ πάτερ,
ἀμετέροισι δόμοισιν ἄχη θεὸς, ὃς τάδε τελευτᾷ.
χο πολλῶν κακῶν κατῆρξεν Οἰδίπου δόμοις
τόδ' ἦμαρ. εἰ δ' εὐτυχέστερος βίος.
κρέ οἴκτων μὲν ἤδη λήγεθ', ὡς ὥρα τάφου
μνήμην τίθεσθαι. τῶνδ' Οἰδίπου λόγων
ἄκουσον. ἀρχὰς τῆσδε γῆς ἔδωκέ μοι
Ἐτεοκλέης σὸς παῖς, γάμων φερνὰς διδοὺς
Αἵμονι, κόρης τε λέκτρον Ἀντιγόνης σέθεν.
οὔκουν σ' ἐάσω τήνδε γῆν οἰκεῖν ἔτι.
Σαφῶς γὰρ εἶπε Τειρεσίας, οὐ μήποτε

σοῦ τήνδε

σὲ τὴν δὲ γῆν οἰκοῦντος, εὖ πράξειν πόλιν.
ἀλλ' ἐκνομίζω. καὶ τάδ' οὐχ ὕβρει λέγω,
οὐδ' ἐχθρὸς ὢν σὸς, ἀλλὰ δεῖ τὸς ἀλάστορας
τὸς σὸς, Λεσβικὸς μή τι γῆ πάθῃ κακόν.
οἰδ' ὦ μοῖρ' ἀπ' ἀρχῆς ὡς μ' ἔφυσας ἄθλιον,
κἠγὼ τλήμον', εἴ τις ἄλλος ἀνθρώπων ἔφυ.
ὃν καὶ πρὶν εἰς φῶς μητρὸς ἐκ γονῆς μολεῖν
ἄγονον, Ἀπόλλων λαΐφ μ' ἐθέσπισε
φονέα γενέσθαι πατρός. ὦ τάλας ἐγώ.
ἐπεί δ' ἐγνώσθη, ὧνθις ὁ πανέρας πατὴρ
κτείνῃ με, νομίσας πολέμιον δυσδαίμονα.
χρὴ γὰρ θανεῖν νιν ὄντ' ἐμὸ. πέμπτῳ δ' ἔτει μὲ
μαστὸν ποθόντα, θηρσὶν ἄθλιον βορὰν.
ἢ σωζόμεθα. ταρτάρῳ γ' ὤφελεν
ἐλθεῖν Κιθαιρὼν εἰς ἄβυσσα χάσματα,
ὃς μ' ὃ δρώλεσ', ἀλλά δ' ἐλθεῖσαι τέ μοι
δαίμων' ἔδωκε Πόλυβον ἀμφὶ πεπότῃ.
κτανὼν δ' ἐμαυτὸ πατέρ' ἂν δυσδαίμων ἐγὼ,
εἰς μητρὸς ἦλθον δῆτα παλαιπόρα λέχη.
πᾶσάς τ' ἀδελφὰς ἔτεκον, ὃς ἀπώλεσα,
ἀρὰς παραλάβων λαΐδ καὶ παισὶ δόδε.
ὃ γ' ὁσὸτον ἀσώτερος πέφυκ' ἐγὼ
ὥστ' εἰς ἐμ' ὄμματ' εἶς τ' ἐμῶν παίδων βίον
ἄνδρ' θεῶν τὸ ταῦτ' ἐμηχανησάμην.
εἶεν. τί δράσω δῆθ' ὁ δυσδαίμων ἐγώ;
τίς ἡγεμών μοι ποδὸς ὁμαρτήσει τυφλῷ;
ἦδ' ἢ θανόντα; ζῶλα γὰρ σάφ' οἶδ' ὅτι.
ἀλλ' οὐτέκνος ξυνωρεὶς; ἀλλ' οὐκ ἔστι μοι.
ἀλλ' ἔτι νεάζων αὐτὸς, εὕροι μ' ἂν βίος;
πόθεν; τί μ' ἄρδ' ὧδ' ἀποκτείνῃς Κρέοντος

ἀρκτέον

ἀρκτέον γ', εἰ μὴ γῆς ἔξω βαλεῖς.
δ' μὲν ἐλίξας γ' ἀμφὶ σὸν χεῖρας γόνυ,
κακὸς φανοῦμαι. τὸ γὰρ ἐμὸν ποτ' οὐγενὲς
οὐκ ἂν προδοίμην, οὐδὲ πρὸ τοῦ πράσσων κακῶς.
κρέ σοὶ τ' εὖ λελεκται, γόνατα μὴ χώζειν ἐμά.
ἐγὼ δὲ νάιφι σ' οὐκ ἐάσω μ' ἂν χθόνα.
νεκρῶν ἢ τῶν δε, τὸν μὲν, εἰς δόμους χρεὼν
ἥδε κομίζειν. τόνδε δ' ὃς πρόσω πόλιν
πατρίδ' ἀν σὺν ἄλλοις ἦλθε Πολυνείκους νέκυν,
ἐκβάλλετ' ἄθαπτον· πῖσδ' ὅρων ἔξω χθονός.
κηρύξατε ἢ πᾶσι Καδμείοις τάδε.
ὃς ἂν νεκρὸν τόνδ', ἢ κατασκέψῃ ἁλῶν,
ἢ γῆν καλύψῃων, θάνατον ἀνταλλάξεται.
ἔᾶν δ' ἄκλαυτον. ἄταφον οἰωνοῖσι βορὰν.
σὺ δ' ἐκλιποῦσα τριπτύχων νεκρῶν γόους,
κόμιζε σαυτὴν Ἀντιγόνη δόμων ἔσω.
παρθενοδίκ, τὴν εἰστόδαν ἡμέραν
μύσσ', ἣν σε λέκτρον ἄμον μύνει.
ὦ πάτερ, ὧν οἵοις κείμεθ' ἀθλίοις κακοῖς.
ὡς σε σφάζω τὴν τεθνηκότων πλέον.
τὸ μὲν σοὶ βαρὺ κακῶν, τὸ δὲ βαρύ.
ἀλλ' εἰς ἅπαντα δυσυχὴς ἔφυς πάτερ.
ἀτὰρ σ' ἐρωτῶ τὸν νεωστὶ κοίρανον,
τί τόνδ' ὑβρίζεις πατρὸς ἀρτέλλων χθονός;
τί θεσμοποιεῖς ἐπὶ ταλαιπώρῳ νεκρῷ;
κρέ Ἐτεοκλέους βουλεύματ', οὐχ ἡμῶν τάδε.
ἂν ἄφρονά γε σὺ μωρὸς ὃς ἐπείθου τάδε.
κρέ πῶς; τὰν τεταλμέν' ὀλίκαιον ἐκπονεῖν;
ἂν ὄκ, ἢν πονηρά τ', κακῶς τ' εἰρημένα.
κρέ τίδ' οὐ δικαίως ὅδε κυσὶ δοθήσεται;

οὐκ ἔστιν

ΑΝ. ἀλλ' οὐ γὰρ ἔννομον τὸν δίκαιον πράσσειν δὲ νιν.
ΠΡΕ. εἰσῆρχε πόλεως ἐχθρὸς ὢν, οὐκ ἐχθρὸς ὤν.
ΑΝ. οὐκοῦν ἔδωκε τῇ τύχῃ τὸν δαίμονα;
ΠΡΕ. καὶ τῷ πάφῳ νῦν τὸν δίκαιον παρασχέτω.
ΑΝ. τί πλημμελήσας, τὸ μέρος εἰ μετῆλθε γῆς;
ΠΡΕ. ἄταφος ὅδ' ἀνὴρ ὡς μάθῃς γενήσεται.
ΑΝ. ἐγὼ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις.
ΠΡΕ. σαυτὸν ἂν ἐγγὺς τῶνδε σωθάψεις νεκρῷ.
ΑΝ. ἀλλ' οὐκλεὲς τοι τοῦτο φίλῳ κεῖσθαι πέλας.
ΠΡΕ. λάζυσθε τοῦνδε, κεἰς δόμους κομίζετε.
ΑΝ. ὅδ' οὐ μενεῖ, ἐπεὶ τόνδ' ὅ μεθήσομαι νεκρόν.
ΠΡΕ. ἔκειν' ὁ δαίμων παρθόν', οὐχ ἅ σοι δοκεῖ.
ΑΝ. κἀκεῖνο κέκριται, μὴ ἐφυβρίζεσθαι νεκρούς.
ΠΡΕ. ὡς ὅστις ἀμφὶ τῶνδ' ὑγρὰν θήσει κόνιν.
ΑΝ. ναὶ πῶς σε, τῆσδε μητρὸς ἰοκάστης Κρέον.
ΠΡΕ. μάτην μοχθεῖς. τὸ γὰρ αὖ τύχοις τάδε.
ΑΝ. σύδ' ἀλλὰ νεκρῷ λατρὰ πολλὰ βαλλεῖν μ' ἔα.
ΠΡΕ. ᾧ τοῦτ' αὖ εἰη τῶν ἀρρήτων πόλῃ.
ΑΝ. ἀλλ' ἀμφὶ πράγματ' ἄχρια τελαμῶνας βαλεῖν.
ΠΡΕ. σὺ δ' ἔδ' ὅπως σὺ τόνδε λιμήσεις νέκυ.
ΑΝ. ὦ φίλτατ', ἀλλά σόμα γε σὸν πρόσπτυξομαι.
ΠΡΕ. σὺ δὲ εἰς γάμους σοὺς συμφορὰν κτήσῃ γόου.
ΑΝ. ἦ γὰρ γαμοῦμαι ζῶσα παιδί σῷ ποτε;
ΠΡΕ. πολλήν γ' ἀνάγκη. ποῖ γὰρ ἐκφεύξῃ λέχος;
ΑΝ. νυξ ἄρ' ἐκείνη Δαναϊδῶν μ' ἕξει μίαν.
ΠΡΕ. εἶδες τὸ τόλμημ' οἷον ἐξωνείδισεν;
ΑΝ. ἴσως σίδηρος, ὁρκίου τε μοι ξίφος,
ΠΡΕ. τί δ' ἐκπροθυμῇ τῶνδ' ἀπαλλάσσειν γάμων;
ΑΝ. συμφθίσομαι τῷ σὶ ἀβλιωτάτῳ πατρί.
ΠΡΕ. γενναῖόν σοι μωρία σὶ γ' ἔστ' ἴδεῖν.

καὶ ξυνθανεῖ

ΑΝ. καὶ ξυνθανοῦμαί μ' ὡς μάθῃς πρὸς αὐτόν.
ΠΡΕ. ἰὼ δ' ὁ φονεύσεις παῖδ' ἐμόν. λίπε χθόνα.
ΑΝ. ὦ θύγατερ, ἀνὼ μὴ σε τῆς πολυμόχθου.
ΠΡΕ. ἀλλ' εἰ γαμοίμην. σὺ δὲ μόνη φεύγοις πάτρας;
ΑΝ. μὴ δύτυχεῖν τἄμ' ἐγὼ σοὶ ξυνέξω κακά.
ΟΙΔΙ. καὶ τίς σε τυφλὸν ὄντα θρασπεύσει πάτρᾳ;
ΑΝ. πεσοῦμ' ὅπου μοι μοῖρα, κείσομαι πεσών.
ΟΙΔΙ. ὁρᾷ δ' Οἰδίπους ὧδε, καὶ τὰ κλεῖν' αἰνίγματα;
ΑΝ. ὄλωλ'. ὦ ἡμέρα μ' ὤλεσας. ὦ δ' ἀπώλεσεν.
ΟΙΔΙ. ἀνδρὸς μεταστεῖν δεῖ κἀμὲ τῶν ἐμῶν κακῶν.
ΑΝ. ἀλλὰ φυγὴ θυγατρὶ σὺν τυφλῷ πατρί.
ΟΙΔΙ. σωφρονοῦσαν, ἀλλὰ γενναίαν πάτερ.
ΑΝ. προσάγαγε νῦν με μητρὸς ὡς ψαύσω σέθεν.
ΟΙΔΙ. ἰδοὺ γεραιᾶς φιλτάτης ψαῦσον χερί.
ΑΝ. ὦ μῆτερ. ὦ ξυμφορᾶς ἀθλιωτάτης.
ΟΙΔΙ. οἰκτρὰ πρόκειται, πάντ' ἔχουσ' ὁμῶς κακά.
ΑΝ. Ἐτεοκλέους δὲ τοῦμὸν Πολυνείκους τε πῶς;
ΟΙΔΙ. τοῦδ' ἐκτάδην σοι κεῖσθον ἀλλήλοιν πέλας.
ΑΝ. πρόσδες τυφλῷ χεῖρ' ἐπὶ πρόσωπα δυσυχῆ.
ΟΙΔΙ. ἰδοὺ θανόντων σῶν τέκνων, ἅπτου χερί.
ΑΝ. ὦ φίλα πεσήματ' ἄθλι' ἀθλίου πατρός.
ΟΙΔΙ. ὦ φίλτατον δῆτ' ὄνομα Πολυνείκους ἐμοί.
ΑΝ. νῦν χρησμὸς ὦ πνεῖ λοξίας πραίνειν.
ΟΙΔΙ. ὁ ποῖος; ἀλλ' ἦ πῶς καινοῖς ἐρεῖς κακά;
ΑΝ. ὡς ταῖς Ἀθήναις κατθανεῖν μ' ἁλώμενον.
ΟΙΔΙ. πῶς; τίς σε πύργος Ἀτθίδος προσδέξεται;
ἱερὸς Κολωνὸς, δώμαθ' ἱππείᾳ θεᾷ.
ἀλλ' εἶα τυφλῷ τῷδ' ὑπηρέτει πατρί,
ἐπεὶ προθυμῇ τῆσδε κοινωνεῖν φυγῆς.
ὦδ' εἰς φυγὰν πάλαναν. ὄρεγε χεῖρα φίλαν.

πάτερ

ἀν πάτερ γεραιὲ, πομπίμαν
ἔχουσ' ἐμὲ ὥστε ναυσίπομπον ἄραν.
οἰδί ἰοὺ ἰού πορεύομαι τέκνον. σύμπους ἀγὸς ἄθλιος γε (νῶν.
ἀν γιγνόμεθα, γιγνόμεθ' ἄθλιοι γε
δῆτα θηβαιῶν μάλιστα παρθένων δίκη.
οἰδί πόθι γεραιὸν ἴχνος τίθημι;
βάκτρα πρόσφερ' ὦ τέκνον.
ἀν τᾷδε τᾷδε βάθι μοι. τᾷδε τᾷδε
πόδα τίθει, ὥστ' ὄνειρον ἰσχὺν ἔχων.
οἰδί ἰὼ ἰὼ δυσυχεστάτας φυγᾶς,
ἐλαύνων τὸν γέροντά μ' ἐκ πάτρας.
ἰὼ ἰὼ δεινὰ δ' εἶν' ἐγὼ τλάς.
ἀν τί τλᾶς; τί τλᾶς; οὐχ ὁρᾷ δίκα κακούς,
» οὐδ' ἀμείβεται βροτῶν ἀσωσίας.
οἰδί ὅδ' εἰμὶ, μῦθον ὃς ἐπὶ
καλλίνικόν τ' ἀράνιόν τ' ἔβαν,
παρθένων κόρας αἰνίγμ' ἀσαύλοις ἐν ῥῴ.
ἀν Σφιγγὸς ἀναφέρεις ὄνειδος;
ἄπαγε τὰ πάρος δύτυχήματ' αὐδῶν.
τάδε σ' ἐπέμενε μέλεα πάθεα,
φυγάδα πατρίδος ἄπο γενόμενον.
ὦ πάτερ, θανεῖν τε πρὸ θεινὰ δάκρυα
παρὰ φίλαισι παρθένοις λιπὼν σ' ἄπειμι
πατρίδος ἄπο πρὸ γαίας,
ἄπαρθένευτ' ἄλωμυά.
οἰδί φεῦ τὸ χρήσιμον φρενῶν.
ἀν εἰς πατρὸς γε συμφορὰς δύκλεᾶ μεθήσει.
τάλαιν' ἐγὼ συγγόνε θ' ὑβρισμάτων.
ὃς ἐκ δόμων νέκυς ἄθαπτος οἴχεται. μέλεος.
ὃν εἶμι κἀν θανεῖν πάτρᾳ χρεὼν,

σκοπίᾳ

σκοπίᾳ γᾷ καλύψω.
οἰδί πῶς πλίκας φάνηθι σάς.
ἀν ἅλις ἔχειν δυρμάτων ἐμῶν
οἰδί σὺ δ' ἀμφὶ βωμίους λιτάς.
ἀν κόρας ἔχουσ' ἐμῶν καλιῶν.
οἰδί ἰὼ ἀλλὰ βρόμιος ἵνα τε σπηλὼς
ἄβακχος ὄρεσι Μαινάδος.
ἀν Καδμείαν ὠκὴ νεβρίδι
σολισθοῦσα μολὼν ἔπεσον ἐγὼ
Σεμέλας βάκχευμα ἱερὸν ὄρεσιν ἀνεχόρευσα,
χάριν ἀχαρίστου εἰς θεὸς δίδοσα.
οἰδί ὦ πάτρας κλεινοὶ πολῖται,
λύσετ', οἰδίπους ὅδε,
ὃς τὰ κλεινὰ αἰνίγματ' ἔγνω, κ' μέγιστος ἦν ἀνήρ.
ὃς μόνος Σφιγγὸς κατέσχον δολιμαίους κράτη.
ναῦς δ' ἄτιμος οἰκέτος οἰκέτος ἐξελαύνομαι χθονός.
ἀτὰρ τί ταῦτα θρηνῶ, κἀμάτην ὀδύρομαι;
» Τὰς γὰρ ἐκ θεοῦ ἀνάγκας θνητὸν ὄντα δεῖ φέρειν.
κρ ὦ μέγα σεμνὰ νίκα, τὸν ἐμὸν βίοτον κατέχοις,
κἀμὲ λήγοις στεφανοῦσα.

ΥΠΟΘΕΣΙΣ ΜΗΔΕΙΑΣ.

Ιάσων εἰς Κόρινθον ἐλθὼν, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται τὴν Κρέοντος τοῦ Κορινθίων βασιλέως θυγατέρα Γλαύκην πρὸς γάμον. μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι, καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ ἐσθῆτα, καὶ χρυσοῦν στέφανον οἷς ἐκείνη χρησαμένη, διαφθείρεται καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ, ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα ἐφ' ἅρματος δρακόντων πτερωτῶν, ὁ παρ' ἡλίου ἔλαβεν, ἔποχος γενομένη, ἀποδιδράσκει εἰς Αθήνας. κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν, ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ιάσονα, νέον ποιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος, ὁ τοὺς νόσους ποιήσας φησὶν οὕτως.

» Αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα
» Γῆρας ἀποξύσασ' εἰδείῃσι πραπίδεσσι,
» Φάρμακα πόλλ' ἔψουσ', ἐπὶ χρυσίοισι λέβησι.

Αἰσχύλος δ' ἐν ταῖς τοῦ Διονύσου τροφοῖς ἱστορεῖ, ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα, ἐνεοποίησε. Στάφυλος δέ φησι τὸν Ιάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι. ἐγκελεύσασθαι γὰρ αὐτὴν ὑπὸ τῇ πρύμνῃ τῆς ἀργοῦς αὐτὸν κατακοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου. ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ιάσονι, τελευτῆσαι αὐτόν.

ΑΛΛΩ

ΑΛΛΩΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Μήδεια διὰ τὴν πρὸς Ιάσονα ἔχθραν, τῷ ἐκείνου γεγαμηκέναι Γλαύκην τὴν Κρέοντος θυγατέρα, ἀπέκτεινε μὲν Γλαύκην, καὶ Κρέοντα, καὶ τοὺς ἰδίους υἱοὺς. ἐχωρίσθη δὲ Ιάσονος, Αἰγεῖ συνοικήσασα. Παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα.

Η μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ. ὁ δὲ χορὸς, συνέστηκεν ἐκ γυναικῶν πολιτίδων Εδιδάχθη ἐπὶ Πυθιοδώρου ἄρχοντος κατὰ τὴν ὀγδοηκοστὴν ἑβδόμην ὀλυμπιάδα. Πρῶτος Εὐφορίων. δεύτερος Σοφοκλῆς. τρίτος Εὐριπίδης. Μήδεια, Φιλοκτήτης, τηΔίκς, Θερισταὶ. Σάτυρος οὐ σώζεται.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Τροφὸς Μη	Κρέων.
δείας.	Ιάσων.
Παιδαγωγός.	Αἰγεύς.
Μήδεια.	Αγγελος.
Χορὸς γυναι	Παῖδες Μη
κῶν	δείας

Προλογίζει δὲ ἡ Τροφός



Εἰθ' ὤφελ' Ἀργοῦς μὴ δια
πτᾶσθαι σκάφος
Κόλχων ἐς αἶαν, κυανέας
συμπληγάδας,
μηδ' ἐν νάπαισι Γηλίου πεσεῖν ποτε
τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας
ἀνδρῶν ἀρίστων οἳ τὸ πάγχρυσον δέρας
Γελίᾳ μετῆλθον. οὐ γὰρ ἂν δέσποιν' ἐμὴ
Μήδεια πύργους γῆς ἔπλευσ' Ἰωλκίας,
ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος.
οὐδ' ἂν κτανεῖν πείσασα Γελιάδας κόρας
πατέρα, κατῴκει τήνδε γῆν Κορίνθιαν,
ξὺν ἀνδρὶ καὶ τέκνοισιν ἀνδάνουσα μὲν
φυγῇ. πολιτῶν, ὧν ἀφίκετο χθόνα,
αὐτή τε πάντα συμφέρουσ' Ἰάσονι,
" Ἥπερ μεγίστη γίγνεται σωτηρία
" Ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
νῦν δ' ἐχθρὰ πάντα, καὶ νοοεῖ τὰ φίλτατα.
προδοὺς γὰρ αὐτοῦ τέκνα, δεσπότιν τ' ἐμὴν,
γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ' ἡ δύστηνος ἡτιμασμένη,
βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιὰς
πίστιν, μεγίστην καὶ θεοὺς μαρτύρεται,
οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσι,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον.

ἐπεὶ

ἐπεὶ πρὸς ἀνδρὸς ἤσθετ' ἠδικημένη,
οὔτ' ὄμμ' ἐπαίρουσ', οὔτ' ἀπαλλάσσουσα γῆς
πρόσωπον. ὡς δὲ πέτρος, ἢ θαλάσσιος
κλύδων, ἀκούει νουθετουμένη φίλων,
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην,
αὐτὴ πρὸς αὐτῇ πατέρ' ἀποιμώξῃ φίλον
καὶ γαῖαν οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο
μετ' ἀνδρός, ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο,
οἷον πατρῴας μὴ πολείπεσθαι χθονός.
στυγεῖ δὲ παῖδας. οὐδ' ὁρῶσ' εὐφραίνεται.
δέδοικα δ' αὐτὴν μή τι βουλεύσῃ νέον.
βαρεῖα γὰρ φρὴν οὐδ' ἀνέξεται κακῶς
πάσχουσ'. ἐγ' ᾧδα τήνδε. δειμαίνω δέ νιν
μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος
σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος.
ἢ καὶ τυράννων τόν τε γήμαντα κτάνῃ,
κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.
" Δεινὴ γάρ οὔτοι ῥᾳδίως γε συμβαλὼν
" Ἐχθραν τῆς αὐτῇ, καλλίνκον οἴσεται.
ἀλλ' οἵδε παῖδες ἐκτρόχων πεπαυμένοι,
στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
" κακῶν. Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.
παι παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν,
ἔστηκας αὐτὴ θρεομένη σαυτῇ κακά;
πῶς σου μόνη Μήδεια λείπεσθαι θέλει;
τρο τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
" Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
" Κακῶς πιτνοῦντα, καὶ φρενῶν ἀνθάπτεται.

ἐγὼ γὰρ εἰς τόδ' ἐμβέβηκ' ἀλγηδόνος,
ὥσθ' ἡμέρος μ' ὑπῆλθε γῆ τε, κἀρανῶ,
λέξαι μολόντι δόξιρο Μηδείας τυχας.
πα. ὄπω γὰ ἡ τάλαινα πάυεται γόυς;
χο. ζηλῶ σ'. ἐν ἀρχῇ πῆμα, κοὐδὲν πω μισοῦ.
πα. ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε,
ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.
χο. τί δ' ἔστιν ὦ γεραιέ; μὴ φθονῶ φράσαι
πα. οὐδέν. μετέγνωκ' ἃ τὰ πρόσθ' ἐρημώσας.
χο. μὴ πῶς γυναῖκα κρύπτε σύνδουλον σέθεν.
σιγῶ γὰ εἰ χρὴ τῶνδε βάσομαι πέρι.
πα. ἥκουσά τοι λέγοντος, ὃ δοκῶν κλύειν,
πρὸς τὸν πρόσθεν ἐλθὼν, ἐνθα δὴ παλαίτατοι
θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
ὡς τόνδε πᾶσ' ἂς γῆς ἐλᾶν Κορινθίας
σὺν μητρὶ μέλλει παῖδε τοὺσδε κοίρανος χθονός
Κρέων. ὁ μὰν τοι μῦθος εἰ σαφὴς ὅδε,
οὐκ οἶδα. βαλοίμαν δ' ἂν οὐκ εἶναι τόδε.
χο. καὶ ταῦτ' ἰάσων παῖδας ἐξανέξεται
πάσχοντας, εἰ καὶ μητρὶ δαφορὰν ἔχει;
πα. παλαιὰ καινῶν λέπτεται κηδεύμάτων.
κοὐκ ἐς ἐκεῖνον τοῖσδε δώμασιν φίλον.
χο. ἀπωλόμεσθ' ἄρ', εἰ νέον πρόσοισόμεν
νέον παλαιῷ, πρὶν τόδ' ἐξηντλῆσθαι.
πα. ἀτὰρ σύγ', οὐ γὰρ καιρὸς εἰσῆσθαι τάδε
δέσποιναν, ἡσύχαζε, κοὐδὲν λόγος.
χο. ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατὴρ,
ὄλοιτο μὲν μὴ, δεσπότης γὰ ἐς ἐμὸς,
ἀτὰρ κακός γ' ὤν, εἰς φίλους ἁλίσκεται.
πα. τίς δ' οὐχὶ θνητῶν, ἄρτι γινώσκει τόδε,
ὡς πᾶς

" Ὡς πᾶς τις αὐτὸν τὸ πέλας μᾶλλον φιλεῖ
" Οἱ μὲν, δικαίως, οἱ δὲ κοὐδὲν χρείαν.
" Εἰ τόσδε γ' οὐνὸς ἕνεκ' ὀ σέργει πατὴρ
χο. ἴτ', εὖ γὰρ ἔσται, δωμάτων εἴσω τέκνα.
σύθ' ὡς μάλιστα τόσδ' ἐρημώσας ἔχε,
καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
ἤδη γὰ εἶδον ὄμμα νιν τανυσμένην,
πρὸς δ' ὡς τι δρασείουσαν, οὐδὲ παύσεται
χόλου σάφ' οἶδα, πρὶν κατασκῆψαί τινα,
ἐχθρόν γε μὴν τοι, μὴ φίλους δρᾶσείειν.
μή δύσανος ἐγὼ, μελέα τε πόνων.
ἰὼ μοι, μοι. πῶς ἂν ὀλοίμαν;
χο. τόδ' ἐκεῖνο φίλοι παῖδες, μάτηρ
κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
ταῦτάζετε θᾶσσον δώματος ἔσω,
μὴ πελάσῃτ' ὄμματος ἐχθύς,
μὴ δὲ προσέλθητ' ἀλλὰ φυλάσσου
ἀ ἄγριον ἦθος, συγγενῶν τε φύσιν
φρενὸς αὐθάδους.
ἴστε νῦν. χωρεῖθ' ὡς τάχος ἔσω.
δῆλον δ' ἐξ ἀρχῆς ἐξαιρόμενον
νέφος οἰμωγῆς, ὡς τάχ' ἀνάψει
μείζονι θυμῷ, τί ποτ' ἐργάσεται
μεγαλόφρων ἀλυσιτάπαυστος
ψυχὴ δηχθεῖσα κακοῖσιν.
μή
αἰ αἰ. ἔπαθον πλάμων. ἔπαθον μεγάλων
ἄξι' ὀδυρμῶν. ὦ κατάρατοι
παῖδες, ὀλοιὰ συγγενὰς μητρὸς
σὺν πατρί. κἀπᾶς δόμος ἔρροι.
χο. ἰὼ μοι μοι. ἰὼ πλήμου.

τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
μετέχουσι; τί τούσδ' ἔχθεις; οἴμοι
τέκνα, μήτι πάθιθ' ὡς ὑπεραλγῶ.
» Δεινὰ τυράννων λήματα. καί πως
» Ολίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες,
» Χαλεπῶς ὀργὰς μεταβάλλουσι.
» Τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισι,
» Κρεῖσσον ἔμοιγ' οὖν, εἰ μὴ μεγάλως,
» Οχυρῶς τ' εἴη καταγηράσκειν
» Τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν.
» Τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ,
» Λῷστα βροτοῖσι. τὰ δ' ὑπερβάλλον
» Τ', οὐδένα καιρὸν δύναται θνατοῖς.
» Μείζους δ' ἄτας ὅταν ὀργισθῇ
» Δαίμων, οἴκοις ἀπέδωκεν.
χο ἔκλυον φωνὰν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνου κολχίδος.
οὐδέ πω ἥπιος. ἀλλ' ὦ γεραιὰ,
λέξον. ἐπ' ἀμφιπύλου γὰρ ἔσω
μελάθρου βοὰν ἔκλυον.
οὐδὲ συνήδομαι γύναι
ἄλγεσι δώματος,
ἐπεὶ μὴ φίλα μέκραται
τρο οὐκ εἰσὶ δόμοι. φροῦδα τάδ' ἤδη,
ὁ μὲν, γὰρ ἔχει δῶμα τυράννων.
ἥδ' ἐν θαλάμοις τάκει βιοτὰν
δέσποινα. φίλων οὐδενὸς οὐδὲν
παραθαλπομένα φρένα μύθοις.
μή | αἶ. αἶ. διά μου κεφαλᾶς φλὸξ οὐρανία
βαίη. τί δέ μοι ζῆν ἔτι κέρδος;

φεῦ

φεῦ. φεῦ. θανάτῳ καταλυσαίμαν.
βιοτὰν συγεραὶ πολιποῦσα.
χο ἄϊες, ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς,
ἰαχὰν οἵαν ἁ δύστανος μέλπει νύμφα;
τίς σοι ποτὲ τᾶς ἀπλήστου
κοίτας ἔρος ὦ ματαία,
σπεύσει θανάτου τελευτάν;
μηδὲν τόδε λίσσου.
εἰ δὲ σὸς πόσις
καινὰ λέχη σεβίζει,
κείνῳ τόδε μὴ χαράσσου.
Ζεύς σοι τάδε συνδικάσει.
μὴ λίαν τάκου
ὀδυρομένα σὸν εὐνέταν.
μή ὦ μεγάλα Θέμι, καὶ ποτνι' Αρτεμί,
λεύσσεθ' ἃ πάσχω, μεγάλοις ὅρκοις
ἐνδησαμένα τὸν κατάρατον
πόσιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοι
μ' αὐτοῖς μελάθροις διακναιομένους.
οἵ γέ με πρόσθεν τολμῶσ' ἀδικεῖν.
ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
αἰσχρῶς, τὸν ἐμὸν κτείνασα κάσιν.
τρο κλύεθ' οἷα λέγει, κἀπιβοᾶτε
θέμιν εὐκταίαν. Σῆνά θ', ὃς ὅρκων
θνατοῖς ταμίας νενόμισται;
οὐκ ἔστιν ὅπως ἐντινι σμικρῷ
δέσποινα χόλον καταπαύσει.
χο πῶς ἂν ἐς ὄψιν τὰν ἀμετέραν
ἔλθοι, μύθων τ' αὐδαθέντων
δέξαι τ' ὀμφὰν,
εἴ πως βαρύθυμον ὀργὰν.

καὶ λῆμα φρενῶν μεθείη.
προ μήτοι τόγ' ἐμὸν πρόθυμον
φίλοισιν ἀπέστω.
χρ ἀλλὰ βᾶσά νιν δεῦρο πόρευσον οἴκως
ἔξω φίλα. καὶ τάδ' αὔδα,
σπεῦσον πρίν τι κακῶσαι τοὺς εἴσω.
πένθος γὰρ μεγάλως τόδ' ὁρμᾶτρ.
προ δράσω τάδ'. ἀτὰρ φόβος, εἰ πείσω
δέσποιναν ἐμάν.
μόχθου δὴ χάριν τήνδ' ἐπιδώσω.
καίτοι τοκάδος δέργμα λεαίνης
ἀστραυροῦται δ' μωσὶν, ὅταν τις
μῦθον προφέρων πέλας ὁρμαθῇ.
» Σκαιοὺς δὲ λέγων, κοὐ δέν τί σοφοὺς
» Τοὺς πρόσθε βροτοὺς, οὐκ ἂν ἁμάρτοις,
» Οἵτινες ὕμνους, ἐπὶ μὲν θαλίαις,
» Ἐπίτ' εἰλαπίναις, καὶ πρὰ δείπνοις
» Εὕροντο βίου τερπνὰς ἀκοάς
» Στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
» Εὕρετο μούσῃ καὶ πολυχόρδοις
» Ὠδαῖς πάνειν, ἐξ ὧν θάνατοι,
» Δειναί τε τύχαι, σφάλλουσι δόμους.
» Καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
» Μολπαῖσι βροτούς. ἵνα εὔδειπνοι
» Δαῖτες, τί μάτην τείνουσι βοάν;
» Τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ,
» Δαιτὸς πλήρωμα βροτοῖσιν.
χρ ἰαχὰν ἄϊον πολύστονον γόων.
Λιγυρὰ δ' ἄχεα μογερὰ βοᾶ
τὸν ἐν λέχει προδόταν κακόνυμφον.

θεοκλυτεῖ

θεοκλυτεῖ δ' ἄδικα παθοῦσα.
τὰν Ζηνὸς ὁρκίαν θέμιν,
ἃ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον
δι' ἅλα νύχιον,
ἐφ' ἁλμυρὰν πόντου
κληῖδ' ἀπέραντον.
μή Κορίνθιαι γυναῖκες ἐξῆλθον δόμων,
μή μοι τι μέμψησθ'. οἶδα γὰρ πολλοὺς βροτῶν
σεμνοὺς γεγῶτας, τοὺς μὲν, ὀμμάτων ἄπο,
τούσδ' ἐν θυραίοις. οἶδ' ἀφ' ἡσύχου ποδὸς
δύσκλειαν ἐκτήσαντο, καὶ ῥαθυμίαν
» Δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν.
» Ὃς τὸν πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς,
» Στυγεῖ δεδορκὼς, οὐδὲν ἠδικημένος.
» Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει.
» Οὐδ' ἀστὸν ἤνεσ', ὅστις αὐθάδης γεγὼς,
» Γικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε,
ψυχὴν διέφθαρκ'. οἴχομαι δὲ, καὶ βίου
χάριν μεθεῖσα, κατθανεῖν χρήζω φίλαι.
ἐν ᾧ γὰρ ἦν μοι πάντα γιγνώσκειν καλῶς,
κάκιστος ἀνδρῶν ἐκβέβηκ' οὐ μὸς πόσις.
» Γάντων δ' ὅσ' ἔστ' ἔμψυχα, καὶ γνώμην ἔχει,
» Γυναῖκες ἐς μὲν ἀθλιώτατον φυτόν.
» Ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
» Πόσιν πρίασθαι, δεσπότην τε σώματος
» Λαβεῖν. κακοῦ γὰρ τοῦδ' ἔτ' ἄλγιον κακόν.
» Κἀν τοῦδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν,
» Ἢ χρηστόν. οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ

γυναιξὶν

γυναιξὶν οὐδ' οἷόν τ' ἀνήνασθαι πόσιν.
εἰς καινὰ δ' ἤθη, καὶ νόμους ἀφιγμένην,
δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν
ὅτῳ μάλιστα χρήσεται ξυνευνέτῃ.
κἂν μὲν τάδ' ἡμῖν ἐκπονουμέναισιν εὖ
πόσις ξυνοικῇ μὴ βίᾳ φέρων ζυγόν,
Ζηλωτὸς αἰών. εἰ δὲ μὴ, θανεῖν χρεών.
» Ἀνὴρ δ' ὅταν τοῖς ἔνδον ἄχθηται ξυνών,
» Ἔξω μολὼν ἔπαυσε καρδίας χόλον,
» Ἢ πρὸς φίλων τίν', ἢ πρὸς ἥλικα τραπείς.
» Ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
λέγουσι δ' ἡμᾶς ὡς ἀκίνδυνον βίον
ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορί,
» κακῶς φρονοῦντες. Ὡς τρὶς ἂν παρ' ἀσπίδα
» στῆναι θέλοι μ' ἂν μᾶλλον, ἢ τεκεῖν ἅπαξ.
ἀλλ' οὐ γὰρ αὐτὸς πρὸς σὲ κἄμ' ἥκει λόγος.
σοὶ μὲν πόλις θ' ἥδ' ἐστι, καὶ πατρὸς δόμοι,
βίου τ' ὄνισις, καὶ φίλων συνουσία.
ἐγὼ δ' ἔρημος, ἄπολις οὖσ', ὑβρίζομαι
πρὸς ἀνδρὸς, ἐκ γῆς βαρβάρου λελησμένη.
οὐ μητέρ', οὐκ ἀδελφὸν, οὐδὲ συγγενῆ
ἰο μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
τοσοῦτον οὖν σου τυγχανεῖν βουλήσομαι,
ἢν μοι πόρος τις. μηχανὴ τ' ἐξευρεθῇ,
πόσιν δίκῃ τῶνδ' ἀντιτίσασθαι κακῶν.
τὸν δόντα τ' αὐτῷ θυγατέρ', ἥντ' ἐγήματο,
» σιγᾷν, γυνὴ γὰρ, τἆλλα μὲν φόνου πλέα,
» Κακὴ δ' ἐς ἀλκὴν, καὶ σίδηρον εἰσορᾷν.
» Ὅταν δ' ἐς εὐνὴν ἡδικημένη κυρῇ,
» Οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

δράσω

χρ δράσω τάδ', ἐνδίκως γὰρ ἐκτίσῃ πόσιν
Μήδεια. πρνθεῖν δ' οὔ σε θαυμάζω τύχας:
ὁρῶ δὲ καὶ Κρέοντα τῆσδ' ἄνακτα γῆς
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.
κρέ σὲ τὴν σκυθρωπὸν, καὶ πόσει θυμουμένην
Μήδειαν εἶπον τῆσδε γῆς ἔξω περᾷν
φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
καὶ μή τι μέλλειν, ὡς ἐγὼ βραβεὺς λόγου
τοῦδ' εἰ μὶ, κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.
μή αἶ. αἶ. πανώλης ἡ τάλαιν' ἀπόλλυμαι.
ἐχθροὶ γὰρ ἐξίασι. πάντα δὴ κάλων.
κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
ἐρήσομαι δὴ καὶ κακῶς πάσχουσ' ὅμως
τίνος μ' ἕκατι γῆς ἀφρστέλλεις Κρέον.
κρέ δέδοικά σ'. οὐδὲν δεῖ περιαμπίσχειν λόγους,
μή μοι τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
ξυμβάλλεται δὴ πολλὰ τοῦδε δείματος.
σοφὴ πέφυκας, καὶ κακῶν πολλῶν ἴδρις.
λυπῇ δὴ, λέκτρων ἀνδρὸς ἐστερημένη.
κλύω δ' ἀπειλεῖν, ὡς ἀπαγγέλλουσί μοι,
τὸν δόντα, καὶ γήμαντα, καὶ γαμουμένην,
δράσειν τι. ταῦτ' οὖν πρὶν παθεῖν, φυλάξομαι.
κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπέχθεσθαι γύναι.
ἢ μαλθακισθένθ', ὕστερον μέγα στένειν.
μή φεῦ. φεῦ.
οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις Κρέον,
ἔβλαψε δόξα, μεγάλα τ' εἴργασται κακά.
χρὴ δ' οὔποθ' ὅστις ἀρτίφρων πέχυκ' ἀνὴρ,
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.

χωρὶς

χωρεῖς γὰρ ἄλλης, ἧς ἔχουσιν ἀργίας,
φθόνου πρῶς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
» Σκαιοῖσι μὲν γὰρ καινὰ πρωσφέρων σοφὰ,
» Δόξεις ἀχρεῖος· κὐ σοφὸς πεφυκέναι.
» Τῶν δ' ἀν δοκούντων εἰδέναι τι ποικίλων,
» Κρείσσων νομισθεὶς, ἐν πόλει λυπρὸς φανῇ.
ἐγὼ δὲ κἀυτὴ πῆσδε κοινωνῶ τύχης.
σοφὴ γὰρ ὔλα, τοῖς μὲν, εἰ μὴ ἐπίφθονος,
τοῖσδ' ἠσυχάζω, τοῖς δ', θατέρα τρόπος.
τοῖσδ' ἂν πρωσάντης. εἰ μὲ δ' ὀκ ἄγαν σοφὴ
σὺ δ' ἂν φοβῇ με, μή τι πλημμελὲς πάθῃς.
ὀχ ὧδ' ἔχει μοι μὴ τρέσῃς ἡμᾶς Κρέον,
ὥστ' εἰς τυράννους ἁνδρας ἐξαμαρτάνειν.
σὺ γὰρ τί μ' ἠδίκηκας; ἐξέδου τὸ κῆρι
ὅτῳ σε θυμὸς ἦγεν. ἀλλ' ἐμὸν πόσιν
μισῶ. σὺ δ' ὀρθῶς ἔμαι σωφρονῶν, ἔδρας τάδε.
εὖ νῦν τὸ μὲν σὸν ἀφθονῶ καλῶς ἔχειν.
νυμφεύετ'. εὖ πράσοιτε. τλῶ δὲ δὴ χθόνα
ἐᾶτέ μ' οἰκεῖν. κἀν γὰρ ἠδικημένοι
σιγησόμεσθα, κρείσσονων νικώμενοι.
Κρ. λέγεις ἄκουσαι μαλθάκ'. ἀλλ' εἴσω φρενῶν
ἀρρωδία μοι, μή τι βεβούσης κακόν.
τοσῶδε γ' ἧσσον ἢ πάρος πέποιθά σοι.
» Γυνὴ γὰρ ὀξύθυμος. ὡς δ' ἄπαξ ἀνὴρ,
» Ῥᾴων φυλάσσῃ, ἢ σιωπηλὸς σόφος.
ἀλλ' ἔξιθ' ὡς τάχιστα μὴ λόγους λέγε.
ὡς ταῦτ' ἄρηρε, κοὐκ ἔχεις τέχνῃ ὅπως
μενεῖς παρ' ἡμῖν, ὦδε δυσμενὴς ἐμοί.
Μη. μὴ πρὸς γονάτων, πρὸς τε νεογάμου κόρης.
Κρ. λόγους ἀναλοῖς. οὐ γὰρ ἂν πείσαις ποτὲ.

ἀλλ'

Μη. ἀλλ' ἐξελᾷς με, κοὐδὲν ἀντλήσω λιτάς;
Κρ. φιλῶ γὰρ οὐ σὲ μᾶλλον, ἢ δόμους ἐμούς.
Μη. ὦ πατρὶς, ὡς σε κάρτα νῦν μνείαν ἔχω.
Κρ. πλὴν γ' τέκνων, ἐμοιγε φίλτατον πολύ.
Μη. φεῦ φεῦ. βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
Κρ. ὅπως ἂν οἶμαι καὶ παρασῶσιν τύχαι.
Μη. Ζεῦ, μὴ λάθοι σε τῶνδ', ὃς αἴτιος κακῶν.
Κρ. ἔρπ' ὦ ματαία. καὶ μ' ἀπάλλαξον πόνων.
Μη. πονοῦμεν ἡμεῖς, κοὐ πόνων κεχήμεθα.
Κρ. τάχ' ἦξ ὀπαδῶν χειρὸς ὠθισθεὶς βίᾳ.
Μη. μὴ δῆτα τοῦτό γ'. ἀλλά σ' αἰτοῦμαι Κρέον.
Κρ. ὄχλον παρέξεις ὡς ἔοικας ὦ γύναι.
Μη. φεύξομαι δή. τοῦτ' ἐπεσβύσω σε τυχεῖν.
Κρ. τί δ' ἂν βιάζῃ, πῶς ἀπαλλάσσει χθονός;
Μη. μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν,
καὶ ξυμπρᾶξαι φροντίδ', ἧ φευξούμεθα.
παισίν τ' ἐφορμᾶν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
ὤδελεν πρῶτα μηχανᾶσθαι τέκνοις.
οἰκτείρω δ' αὐτούς. καὶ σύγε παιδῶν πατὴρ
πέφυκας. εἰκὸς δ' ὄντα σοι κήδειν σ' ἔχειν.
τὰ μὲν γὰρ ἐμοὶ φροντὶς εἰ φευξούμεθα.
κείνους δὲ πλαίω συμφορᾷ κεχρημένους.
Κρ. ἧκιστα τἀμὸν λῆμ' ἔφυ τυραννικόν.
ἀνιέμενος δὲ, πολλὰ δὴ διέφθορα.
καὶ νῦν ὁρῶμέν' ἐξαμαρτάνων γυναῖ.
ὅμως δ' ἔσωζε τοῦδε. προσδύνεπε δ' ἐμοὶ
εἰ σ' ἦ πρόσω λαμπτὰς ὄψεται θεός,
καὶ παῖδας ὡς ὄντας πατρὸς τοῦδε κακοῦ.
θαυμ. λέλεκται. μῦθος δ' ἡδυσμὸς ὅδε.
νῦν δ' ἐκ μιᾶσ ἐμὲ, μίαν ἐφ' ἡμέραν μίαν.

δ᾽ γάρ᾽ ἀ φράσεις δεινόν, ὧν φόβος μ᾽ ἔχει.
χο δύστανε γυῖαι,
φοῦ. φοῦ. μελέα τῶν σῶν ἀχέων.
ποῖ ποτε τρέψῃ; τίνα πρόξενίαν,
ἢ δόμον, ἢ χθόνα σωτῆρα κακῶν
ἀζδυσήσεις;
ὡς εἰς ἄπορόν σε κλύδωνα θεὸς
Μήδεια κακῶν ἐπόρδυσε.
μή κακῶς πέπρακται πανταχῇ. τίς ἀντερεῖς
ἀλλ᾽ ὅτι τάυτη ταῦτα μὴ δοκεῖτέ πω.
ἔτ᾽ εἰσ᾽ ἀγῶνες τοῖς νεωσὶ νυμφίοις,
καὶ τοῖσι κηδεύσασιν σ᾽ σμικροὶ πόνοι.
δοκεῖς γ᾽ ἂν με τόνδ᾽ εωπόῦσαι ποτ᾽ ἄν,
εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμύλλω,
σὺ δ᾽ ἂν πρόσειπον, σὺ δ᾽ ἂν ἡψάμην χεροῖν.
οὐδ᾽ εἰς τοσοῦτον μωρίας ἀφίκετο.
ὥστ᾽ ἀζόν αὐτῷ τἄμ᾽ ἐλεῖν βαλβύμασιν
γῆς ἐκβαλόντι, τήνδ᾽ ἀφῆκεν ἡμέραν
μεῖναί μ᾽, ἵν᾽ ἢ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
θήσω, πατέρα τε, καὶ κόρην, πόσιν τ᾽ ἐμόν.
πολλὰς δ᾽ ἔχουσα θανασίμους αὐτοῖς ὁδούς,
οὐκ οἶδ᾽ ὁποίᾳ πρῶτον ἐγχειρῶ φίλαι,
πότερον ὑφάψω δῶμα νυμφικὸν πυρί,
ἢ θηκτὸν ὦσω φάσγανον δι᾽ ἥπατος,
σιγῇ δόμους εἰσβᾶσ᾽, ἵν᾽ ἐστρωται λέχη;
ἀλλ᾽ ἕνι μοι πρόσαντες, εἰ ληφθήσομαι
δόμους ὑπερβαίνουσα, καὶ τεχνωμύλλω,
θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
κράτιστα τῶν σύθεάν᾽ ἢ πεφύκαμεν,
σοφαὶ μάλιστα φαρμάκοις αὐτὸ κτανεῖν.

ἐγὼ

ἐγω. κἀγὼ δὴ τεθνᾶσι. τίς με δέξεται πόλις;
τίς γῆ ἄσυλον, καὶ δόμους ἐχεγγύους
ξένου παραχώρ, ῥύσεται τὸ μὴ δέμας;
οὐκ ἔστι. μείνασ᾽ ὀλίγον εἰ σμικροῦ χρόνου,
ἥν μοι λίς ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
δόλῳ μὲν ἐμὲ τόνδε καὶ σιγῇ φόνου.
ἢν δ᾽ ἀζελαύνῃ ξυμφορά μ᾽ ἀμήχανον,
αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
κτενῶ σφε. τόλμης δ᾽ εἰμὶ πρὸς τὸ κάρτερόν.
ἐς γὰρ μα τλὰν δέδασσιναν, ἣν ἐγὼ σέβω
μάλιστα τῶν τάνταν, καὶ ξυνεργὸν εἰλόμην,
ἐκάτην μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
χαίρων ὡς αὐτῶν, τὸ μὴ ἀλγυνεῖ κέαρ.
πικρὸς δ᾽ ἐγὼ σφιν ἔσομαι λυγρὸς θήσω γάμους.
πικρὸν δὲ κῆδος, καὶ φυγὰς ἐμὰς χθονός.
ἀλλ᾽ εἶα. φείδου μηδὲν, ὧν ἐπίστασαι
Μήδεια βουλεύσασα, καὶ τεχνωμύλλη.
ἔρπ᾽ εἰς τὸ δεινόν. νῦν ἀγὼν σὺ ψυχίας.
ὁρᾷς ἃ πάσχεις; ὡς γέλωτα δεῖ σ᾽ ὀφλεῖν
τοῖς Σισυφείοις, οἷς τ᾽ Ἰάσονος γάμοις,
γεγῶσαν ἐσθλὸ πατρὸς, ἡλίου τ᾽ ἄπο.
» ἐπίστασαι δὲ, πρὸς δὲ, καὶ πεφύκαμεν
» γυναῖκες, εἰς μὲν ἔδαλ᾽, ἀμηχανώτατα.
» κακῶν δὲ πάντων τέκνον σοφώτατον.
χο ὦνω ποταμῶν ἱερῶν
χωροῦσι παγαὶ,
καὶ δίκα, καὶ πάντα πάλιν στρέφεται.
ὡν βροτοὶ μὲν, σὺ λιαι βουλαί. θεῶν
δ᾽ ἐλέσθαι πίστις ἄρκυς.
τὰν δ᾽ ἐμὰν σύγκλειαν ἔχειν βιοτὰν,

m 2 στρέφει

σφέφρσι φᾶμαι.
ἔρχεται ὑμὰ
γυναικείῳ γόνει.
σκέπτ' σ' υσκέλαδος
φάμα γυναῖκας ἔξει.
μῶσαι ὦ παλαι γονέων.
λήξουσιν ἀοιδαῖν,
τὰν ἐμὰν ὕμνοῦσαι ἀπίστοσύναν.
σὺ γὰρ ὦ ἀμετέρᾳ γνώμᾳ λύρας
ὤπασε θέσπιν ἀοιδὰν
φοίβος ἀγήτωρ μελέων. ἐπεὶ ἂν
πάχησαν ὕμνον
ἀρσένων γόνα.
μακρὸς σ' αἰὼν ἔχει.
πολλὰ μὲν ἀμετέραν
ἀνδρῶν τε μοῖραν εἰπεῖν.
σύσ' ἐκ μὲν οἴκων πατρίων ἔπλευσας
μαινομένᾳ κραδίᾳ, δισσὰν
μὰς θείσαις πόντου
πέτρας. ἐπὶ δὲ ξένᾳς
ναίεις χθονὶ, τᾶς ἀνάνδρου
κύπτας ὀλέσασα λέκτρον.
πάλαινα. φυγὰς ἦ χώρας ἄτιμος ἐλαύνῃ.
βέβακεν ὅρκων χάρις, οὐδέ τ' ἀιδὼς
Ελλάδι τᾷ μεγάλᾳ μίμνει.
ἀιθερία δ' ἀνέπτα.
σοὶ δ' ὅτε πατρὸς δόμοι
δύστανε, μεθορμίσαιντο
μόχθων πᾷ τῶνδε λέκτρων,
ἀλλὰ βασίλεια κρείσσων δόμοισιν ἔπεσα.

ὦ νῦν

ὦ νῦν κατεῖδον πρῶτα, ἀλλὰ πολλάκις,
" Τραχεῖαν ὀργὴν, ὡς ἀμήχανον κακόν.
σοὶ γὰρ παρὸν γῆνδε τήνδε καὶ δόμους ἔχειν
κόφως φορήσει πρεισσόνων βαλούματα,
λόγων ματαίων ὕνεκ' ἐκπεσῇ χθονός.
κἀμοὶ μὲν οὐδὲν πρᾶγμα. μὴ παύσῃ ποτὲ
λέγουσ' Ιάσων ὡς κάκιστος ἐς ἀνήρ.
ἃ δ' εἰς τυράννους ἔστι σοι λελεγμένα,
παῦ κόρδος ἦγε ζημιωθὴν φυγῇ.
κἀγὼ μὲν αἰεὶ βασιλέων ὑμνουμένων,
ὀργὰς ἀφήρουν. καὶ σ' ἐβουλόμην μένειν.
σὺ δ' οὐκ ἀνίεις μωρίας, λέγουσ' ἀεὶ
κακῶς τυράννους. τοιγὰρ ἐκπεσῇ χθονός.
ὅμως δὲ κἀκ τῶνδ' ὢν ἀπειρήκως φίλοις,
ἥκω, τὸ σόν γε προσκοπούμενος γυῖαι.
ὡς μήτ' ἀχρήμων σὺν τέκνοισιν ἐκπέσῃς,
" μήτ' ὢν δεήσῃ τῶν. πόλλ' ἐφέλκεται φυγὴ
" Κακὰ ξύν αὐτῇ. καὶ γὰρ εἰ σύ με συγεῖς,
οὐκ ἂν ἀλιαίμην σοὶ κακῶς φρονεῖν ποτε.
μὴ ὦ παγκάκιστε, τοῦτό γάρ σ' εἰπεῖν ἔχω,
γλώσσῃ μέγιστον εἰς ἀναιδείαν κακόν
ἦλθες πῶς ἡμᾶς ἦλθες, ἐχθίστος γεγὼς
θεαῖς τε, κἀμοί, παντί τ' ἀνθρώπων γένει
" Οὔκοι θράσος τόδ' ἐστὶν, οὐδ' εὐτολμία,
" φίλους κακῶς δρᾶσαντ' ὠφθῆναι βλέπειν.
" Ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
" Πασῶν, ἀναίδεια. εὖ δ' ἐποίησας μολών.
ἐγώ τε γὰρ λέξασα κουφιοῦμαι
ψυχὴν κακῶς σε, καὶ σὺ λυπήσῃ κλύων.
ἀπ' ἀρχῆς δὲ πρώτων πρώτον ἄρξομαι λέγειν.

m 3 ἔσωσά σ'

ἔσωσα σ' ὡς ἴσασιν Ἑλλήνων ὅσοι
ταυτὴν σωσισέβισαν ἀργῶον σκάφος
πεμφθέντα τάυρων πυρπνόων ἐπισάτην
ζεύγλαισι, καὶ σπείροντα θανάσιμον γύην
δράκοντά θ', ὃς πάγχυσον ἀμφέπων λόφας,
σώσειρας ἔσωζε πολυπλόκοις ἄϋπνος ὠλαῖς,
κτείνασ', ἀνέσχον σοὶ φάος σωτήριον.
αὐτὴ δ' πατρὸς κῆδος πρόδοσ' ἐμὸς,
σὺν σοὶ πρόθυμος μᾶλλον ἢ σοφωτέρα,
Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν
παίδων ἑοῖς αὐτὸ πάντα τ' ἐξείλον φόβον.
Ὦ ταῦθ' ὑφ' ἡμῶν ὦ κάκιστ' ἀνδρῶν παθὼν,
πρόδωκας ἡμᾶς. καινὰ δ' ἐκτήσω λέχη
παίδων γεγώτων. εἰ γὰρ ἦδ' ἄπαις ἔτι,
σύγγνως ἂν σοι τόδ' ἐραδῆναι λέχος.
ὅρκων δὲ φρόδρα πίστις. οὐδ' ἔχω μαθεῖν,
εἴ θεὸς νομίζεις τὸς πότ' ἦν ἄρχθ' ἔτι,
ἢ καινὰ κεῖθι θέσμι ἀνθρώποις πάνυ
ἐπεὶ σώοιδ' ἐγὼ ἐς ἐμὲ σὲ δύορκος ὤν.
φεῦ δεξιὰ γὼ χείρ, ἧς σὺ πόλλ' ἐλαμβάνες,
καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρώσμεθα
κακὸ πρὸς ἀνδρὸς, ἐλπίδων δ' ἡμάρτομεν.
ἄγ'. ὡς φίλῳ γὼ ὄντι σοι κοινώσομαι.
δοκοῦσα μὲν δὴ πρός γε σοῦ πράξθ' καλῶς,
ὅμως δ', ἐρωτηθεὶς γὰρ ἀσχίων φανῇ,
νῷν ποῖ τραπώμαι; πότερα πρὸς πατρὸς δόμους,
οὓς σοὶ προδοῦσα, καὶ πάτραν, ἀφικόμην,
ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἄν δῆτ'
δέξαιντό μ' οἴκοις, ὧν πατρὶ κατέκτανον.

ἔχω

ἔχει γὰρ ὅτῳ. τοῖς μὲν οἴκοθεν φίλοις
ἐχθρὰ καθέστηχ'. οὓς δέ μ' οὐκ ἐχθοῖ κακῶς
δρᾶν, σοὶ χάριν φορύσα, πολεμίους ἔχω.
τοιγάρ με πολλαῖς μακαρίαν Ἑλλήνιδ' ὧν
ἔθηκας αὐτὶ τῶνδε. θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ πιστὸν ἢ πάλαι ἐγώ.
εἰ φεύξομαί γ' γαίας ἐκβεβλημένη,
φίλων ἔρημος σὺν τέκνοις μόνη μόνοις,
καλόν γ' ὄνειδος νεωστὶ νυμφίῳ,
πλωχὸς ἀλᾶσθ παῖδας, ἢν ἔσωσά σε.
» Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν οὓς πίδηλος ἥ,
» Τεκμήρι' ἀνθρώποισιν ὥστε ζαφῆ,
» Ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν δειδ'γναι,
» Οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώμασι;
χο Δεινὴ λις ὀργὴ καὶ δυσίατος πέλει,
» Οταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.
ἰά σοῖ μ' ὡς ἔοικε μὴ κακὸν φῦναι λέγειν,
ἀλλ' ὡς τέκνοις κεδνὸν οἰκοτρόφον,
ἄκροισι λαίφος κραιπνὸν ὥστε ναυκρατεῖν
πλὼ σὸν σύμαργον ὦ γυῖαι γλωσσαλγίαν,
ἐγὼ δ' ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
Οἱ δ' ἔστι μὲν νῶς λεπτὸς, ἀλλ' ἐπίφθονον
λόγος δέλθειν, ὡς ἔρως σ' ἠνάγκασε
πόνῳ ἀφύκτῳ τὸ μὸν ἐκσῶσαι δέμας.
ἀλλ' οὐκ ἀκριβῶς αὐτὰ θήσομαι λίαν.
ὅπῃ γὰρ ἧν ὤνησας, ὀ κακῶς ἔχει.
μείζων μὲν οὐ πρὸς τῆς ἐμῆς σωτηρίας
ἔλαφας, ἢ δέδωκας, ὡς ἐγὼ φράσω.

m 4 πρῶτον

Γρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
γαῖαν κατοικεῖς, καὶ δίκην ἐπίστασαι,
νόμοις τε χρῆσθαι μὴ πρὸς ἰσχύος χάριν.
πάντες δέ σ' ἤσθοντ' οὖσαν Ἕλληνες σοφήν.
καὶ δόξαν ἔσχες. εἰ δὲ γῆς ἐπ' ἐσχάτοις
ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
» Εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις,
» Μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
» Εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.
τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων περί
ἔλεξ'. ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
ἃ δ' εἰς γάμους μοι βασιλικοὺς ὠνείδισας,
ἐν τῷδε δείξω, πρῶτα μὲν σοφὸς γεγὼς,
ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος,
καὶ παισὶ τοῖς ἐμοῖσιν. ἀλλ' ἔχ' ἥσυχος.
Ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς,
πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
τί τοῦδ' ἂν εὕρη μ' εὗρον εὐτυχέστερον,
ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;
οὐχ ἣ σὺ κνίζῃ σὸν μὲν ἐχθραίνων λέχος,
καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων.
ἅλις γὰρ οἱ γεγῶτες. οὐδὲ μέμφομαι.
ἀλλ' ὡς τὸ μὲν μέγιστον οἰκοῖμεν καλῶς,
καὶ μὴ σπανίζοίμεσθα, γιγνώσκων ὅτι
» Γένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
παῖδάς τε θρέψαι μ' ἀξίως δόμων ἐμῶν.
σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις,
εἰς ταὐτὸ θείην. ὦ συναρτήσας γένος,
εὐδαιμονοίην. σοί τε γὰρ παίδων τίδεῖ,

ἐμοί

ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις,
τὰ ζῶντ' ὀνῆσαι. μῶν βεβούλευμαι κακῶς;
οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
» Ἀλλ' εἰς τοσοῦτον ἥκεθ', ὥστ' ὀρθουμένης
» Εὐνῆς, γυναῖκες πάντ' ἔχειν νομίζετε.
» Ἦν δ' αὖ γένηται ξυμφοράτις εἰς λέχος,
» Τὰ λῷστα καὶ κάλλιστα, πολεμιότατα
» Τίθεσθε. χρὴν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
» Παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος.
» Οὕτω δ' ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.
χο Ἰᾶσον, εὖ μὲν τοῦσδ' ἐκόσμησας λόγους.
ὅμως δ' ἔμοιγε καὶ πρὰ γνώμην λέγω,
δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.
μή ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν.
» Ἐμοὶ γὰρ ὅστις ἄδικος ὤν, σοφὸς λέγειν
» Γέφυκε, πλείστην ζημίαν ὀφλισκάνει.
» Γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,
» Τολμᾷ πανουργεῖν. ἔστι δ' οὐκ ἄγαν σοφός.
ὡς καὶ σὺ μὴ νῦν εἰς ἐμ' εὐσχήμων γένῃ,
λέγειν τε δεινός. ἐν γὰρ οὖν κτενεῖ σ' ἔπος.
χρὴν σ' εἴπερ ἦσθα μὴ κακὸς, πείσαντί με
γαμεῖν γάμων τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.
ἰά καλῶς γ' ἂν οὖν μοι τῷδ' ὑπηρέτεις λόγῳ,
εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον
μή οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάβαρον λέχος
πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.
ἰά εὖ νῦν τόδ' ἴσθι μὴ γυναικὸς οὕνεκα
γῆμαί με λέκτρα βασιλέως ἃ νῦν ἔχω.
ἀλλ' ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων

 σὲ καὶ

σὲ καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
φῶναι τυράννοις παῖδας, ἔρυμα δώμασι.
μή μή μοι γένοιτο λυπρὸς δυσλαίμων βίος,
» Μηδ' ὄλβος, ὅστις τὴν ἐμὴν κνίζοι φρένα.
ἰᾷ δοὺ ὡς με τόξῳ καὶ σοφωτέρα φανῇ,
τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτέ.
μηδὲ δύτυχοῦσα δυσχερὴς εἶναι δόκει,
μή ὕβριζ', ἐπειδὴ σοὶ μόνῃ ἐς ἀσφαλῆ.
ἐγὼ δ' ἔρημος τήνδε φεύξομαι χθόνα.
ἰᾷ αὐτὴ τάδ' εἶλες. μηδὲν ἄλλον αἰτιῶ
μή τί δρῶσα; μῶν γαμοῦσα, καὶ πεφιλοῦσά σε;
ἰᾷ ἀρᾶς τυράννοις αἰνοῦσιν ἀρωμύθη.
μή καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.
ἰᾷ ὡς δ' κείνομαι τῶνδέ σοι τὰ πλείονα.
ἀλλ' εἴ μ' βάλει παισὶν ἢ σαυτῇ φυγῆς
προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν.
λέγ'. ὡς ἕτοιμος ἀφθόνῳ δίδωσι χειρί,
ξένοις τε πέμπειν σύμβολ', οἳ δρᾶσόν σ' ἐν.
καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς γυνή.
λήξασα δ' ὀργῆς, κέρδ' ἀνεῖς ἀμείνονα.
μή ὅτ' ἀὖ ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἄν,
ὅτ' ἀὖ δίδωσι. μηδὲ μῖσῆ δίδου.
» Κακὸν γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
ἰᾷ ἀλλ' ἴσθ' ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
ὡς πάνθ' ὑπουργεῖν σοί τε, κἀ τέκνοις θέλω.
σοὶ δ' οὐκ ἀρέσκει τἀγάθ', ἀλλ' ὠθεῖς φίλους
φίλους ἀπωθῇ. τοι γὰν ἀλγυνῶ πλέον.
μή χώρει. πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
ἅπτῃ. χρονίζων δωμάτων ἔξω πίθου,
νύμφευ'. ἴσως γὰρ, σὺν θεῷ δ' ἐρήσεται,

γαμεῖς

γαμεῖς πόσιν, ὥστέ σ' ἀρνεῖσθαι γάμους.
χο ἔρωτες ὑπὲρ μὲν ἄγαν
ἐλθόντες, οὐκ εὐδοξίαν.
οὐδ' ἀρετὰν παρέδωκαν
ἀνθρώποις. εἰ δ' ἄλις ἔλθοι
Κύπρις, οὐκ ἄλλα θεὸς
εὔχαρις οὕτω.
μή ποτ' ὦ δέσποινά 'μοὶ
χρυσέων τόξων ἐφῆκε,
ἰμέρῳ χρίσασ' ἄφυκτον οἰστόν.
σώφρονει δέ με σωφροσύνα
δῶρημα κάλλιστον θεῶν.
μηδ' ἔποτ' ἀμφιλόγους ὀργὰς, ἀκόρεστά τε νείκη
θυμὸν ἐκπλήξασ' ἑτέ
ροις ἐπὶ λέκτροις
προσβάλοι μ', ὦ δεινὰ Κύπρις.
ἀρλέμους σύνας σεβίζω
σ', οὐ φρενῶν κείνει λέχη γυναικῶν.
ὦ πατρὶς, ὦ δῶμά τ' ἐμόν,
μὴ δῆτ' ἄπολις γενοίμαν,
τὸν ἀμηχανίας ἔχθιστον
δυσπορίαν ἀεὶ
ν' οἰκτροτάτων ἀχέων.
θανάτῳ θανάτῳ πάρος δαμείην,
» ἁμέραν τάνδ' ὀξανύσασα. Μόχθων
» Δ' οὐκ ἄλλο ὑπερθεν,
» Ἢ γᾶς πατρίας στερηθῆς.
εἰσθόμαν. οὐκ ἐξ ἑτέρων
μύθων, ἔχομαν φράσασθαι.
σὲ γὰρ ἡ πόλις, ἡ φίλων σε

ὤκτειρε

ἄκτειρε, παθοῦσαν
δεινότατον παθέων.
« Ἀχάριστος ὄλοιθ', ὅτῳ παρέσται
« μὴ φίλους τιμᾶν, καθαρὰν ἀνοίξαν
« Τι κληίδα φρενῶν.
« Κᾷ μοὶ φίλος ὔποτ' ἔσται.
ἀι Μήδεια, χαῖρε. τοῦδε γὰρ πεοίμιον
κάλλιον οὐδεὶς οἶδε πεοσφωνεῖν φίλοις.
μή ὦ χαῖρε καὶ σὺ παῖ σοφοῦ Γανδίονος
Αἰγεῦ. πόθεν γῆς τῆσδ' ἐπιστροφᾷ πέδον;
ἀι Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
μή τίδ' ὀμφαλὸν γῆς θεσπιῳδὸν ἱκάνεις;
ἀι παίδων ἐρευνῶν σπέρ' μ', ὅπως γένοιτό μοι.
μή πεὸς θεῶν, ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον;
ἀι ἄπαιδες ἐσμὲν δαίμονός τινος τύχῃ.
μή δάμαρτος οὔσης. ἢ λέχους ἄπειρος ὤν;
ἀι οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
μή τί δῆτα Φοῖβος εἶ πέσοι παίδων περί
ἀι σοφώτερ', ἢ κατ' ἄνδρα συμβαλεῖν ἔπη.
μή θέμις δ' ἂν ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
ἀι μάλιστ', ἐπείτοι καὶ σοφῆς δεῖται φρενός.
μή τί δῆτ' ἔχρησε, λέξον εἰ θέμις κλύειν.
ἀι ἀσκοῦ με τὸν πρόχοντα μὴ λῦσαι πόδα.
μή πρὶν ἂν τί δράσῃς, ἢ τίν' ἐξίκῃ χθόνα;
ἀι πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλῳ.
μή σὺ δ' ὡς τί χρήζων, τήν δε ναυστολεῖς χθόνα;
ἀι Πιτθεύς τίς ἐστι γῆς ἄναξ Τροιζηνίας.
μή παῖς ὡς λέγουσι Πέλοπος, εὐσεβέστατος.
ἀι τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω.
μή σοφὸς γὰρ ἀνὴρ, καὶ τρίβων τὰ τοιάδε.

κᾷ μοὶ

ἀι κᾷ μοὶ δὲ πάντων φίλτατος δορυξένων.
μή ἀλλ' εὐτυχόης, καὶ τύχοις ὅσων ἐρᾷς.
ἀι τί γὰρ, σὸν ὄμμα, χρώς τε συντέτηχ' ὅδε;
μή Αἰγεῦ, κάκιστός ἐστί μοι πάντων πόσις.
ἀι τί φῄς; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
μή ἀδικεῖ μ' Ἰάσων, οὐδὲν ἐξ ἐμοῦ παθών.
ἀι τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
μή γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.
ἀι ἦπου τετόλμηκ' ἔργον αἴσχιστον τόδε;
μή σάφ' ἴσθ'. ἄτιμοι δ' ἐσμὲν οἱ πεοτοῦ φίλοι.
ἀι πότερον ἐρασθεὶς, ἢ σὸν ἐχθαίρων λέχος;
μή μέγαν γ' ἔρωτα. πιστὸς οὐκ ἔφυ φίλοις.
ἀι ἴτω νῦν, εἴπερ ὡς λέγεις ἐστὶν κακός.
μή ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
ἀι δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
μή Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
ἀι συγγνωστὰ μὲν γὰρ ἦν σε λυπεῖσθαι γύναι.
μή ὄλωλα. καὶ προσγ' ἐξελάννομαι χθονός.
ἀι πεὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν.
μή Κρέων μ' ἐλάννει φυγάδα τῆσδ' ἔξω χθονός.
ἀι ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπήνεσα.
μή λόγῳ μὲν οὐχί, καρτερεῖν δὲ βούλεται.
ἀλλ' ἄντομαί σε τῆσδε πεὸς γενειάδος,
γονάτων τε τῶν σῶν, ἱκεσία δὴ γίγνομαι,
οἴκτειρον, οἴκτειρόν με τὴν δυσδαίμονα,
καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς.
δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
οὕτως ἔρως σοι πεὸς θεῶν τε λεσφόρος
γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.
εὕρημα δ' οὐκ οἶσθ' οἷον εὕρηκας τόδε.

πάνσω

παύσω σ' ἐ σ' ὄντ' ἄπαιδ' α, καὶ παίδων γόνας
ἀπείρατ' σε θήσω. ποιάδ' οἶδ' α φάρμακα,
ἀε πολλῶν ἕκατι τήνδε σοι δ' ὄναι χάριν
γυναῖ προθυμός εἰ μι. πρῶτα μὲν θεῶν,
ἔπειτα παίδων, ὧν ἐπαγγέλλη γονάς.
εἰς τοῦτο γὰρ σὴ φρὸς ἐμε πᾶς ἐγώ.
ὅτῳ δ' ἔχοιμι. σοῦ μὲν ἐλθόντος χθόνα.
πειράσο μαί σε πρόξενον δίκαιος ὤν.
ὁσόνγε μέντοι σοι προσημαίνω γυναῖ,
ἐκ τῆσδε μὲν γῆς, ὅ σ' ἄγειν βουλήσομαι.
αὐτὴ δ' ἐάν που εἰς ἐμὸς ἔλθῃς δόμους,
μένοις ἄσυλος, κοὐ σε μὴ μεθῶ ποτε.
ἐκ τῆσδε δ' αὐτὴ γῆς, ἀπαλλάσσω πόδα.
ἀνίπτος γὰρ καὶ ξένοις εἶναι θέλω
μὴ ἔσαι τάδ'. ἀλλὰ πίστις εἰ γένοιτό μοι
τούτων, ἔχοι μ' ἂν πάντα πρὸς σέθεν καλῶς.
ἀε μῶν δ' ἐπέπιθας; ἢ τί σοι τὸ δ' υχερές;
μὴ πέπιθα. γελῶ δ' ἐχθρὸς ἔσι μοι δόμος,
Κρέοντ' τε. τούτοις δ' ὁρκίοισι μὲν ζυγείς,
ἄγουσιν ὁ μεθεῖσαν ἐκ γαίης ἐμέ.
λόγοις δὲ σύμβας, καὶ θεῶν ἐνώμοσας
φίλος γένοι' ἂν; κἀπὶ κυρεῖ κύμασιν
ἐκ ἂν πίθοιο. τἀμὰ μὲν γ' ἀσφαλῆ.
τοῖσδ' ὅλβος ὅσ, ὦ δόμος τυραννικός.
ἀε πολλὼ ἔλεξας ἐν λόγοις πρόμηθίαν.
ἀλλ' εἰ δοκεῖ σοι δρᾶν τάδ', ἐκ ἀφίσταμαι.
ἐμοί τε γ' τάδ' ὄτιν ἀσφαλέσερα,
σκῆψιν τίν' ἐχθροῖς σοῖς ἔχοντα λεικνύναι.
τὸ σὸν δ' ἄρηρε μᾶλλον. ὀξυτὸ θεός.
μὴ ὄμνυ πέδον γῆς, πατέρα θ' ἥλιον πατρὸς
τὸ μὸ

τὸ μὸ, θεῶν τε σωλισθεὶς ἅπαν γένος.
ἀε τί χρῆμα δράσῃ, ἢ τί μὴ δράσῃ, λέγε.
μὴ μήτ' αὐτὸς ἐκ γῆς ἐμὲ ἐκβαλεῖν ποτε,
μήτ' ἄλλος ὅτις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
χρῄζῃ μεθήσειν ζῶν, ἑκουσίῳ τρόπῳ.
ἀε ὀμνυμι γαῖαν, λαμπρὸν ἥλιόν τε φῶς,
θεούς τε πάντας, ἐμμένειν ἃ σε κλύω.
μὴ ἀρκεῖ. τίδ' ὅρκῳ τῷδε μὴ μένων πάθοις;
ἀε ἃ τοῖσι δυσσεβέσι γίγνεται βροτῶν.
μὴ χαίρων πορεύσ. πάντα γὰρ καλῶς ἔχει.
κἀγὼ πόλιν σὴν ὡς τάχις' ἀφίξομαι,
πράξασ' ἃ μέλλω, καὶ τυχεῖσ' ὧν βούλομαι.
λο ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
πελάσειε δόμοις.
ὧν τ' ἐπίνοιαν εὐβούλειος κατέχω
πράξειας, ἐπεὶ γενναῖος ἀνὴρ
Αἰγεῦ παρ' ἐμοὶ δοκεῖς εἶναι.
μὴ ὦ Ζεῦ, δίκη τε Διὸς, αὐγή τε φῶς,
νῦν καλλίνικα τῶν ἐμῶν ἐχθρῶν φίλαι
γνησόμεθα, καὶς δόλου βεβήκαμεν.
νῦν δ' ἐλπὶς ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκῃ.
ἔρως γὰρ ὦ νὴρ, ἣ μάλις' ἐκάμνομεν,
λιμένι φέφανται τῶν ἐμῶν βουλευμάτων.
ἐκ τοῦδ' ἀναψόμεθα πρυμνήτῳ κάλῳ
μολόντες ἄστυ, καὶ πόλισμα Παλλάδος.
σιγὴ δὲ πάντα τἀμὰ σοι βουλεύματα
λέξω. δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
πέμψασ' ἐμοῦ ζυν' οἰκετῶν, ἱάσονα
εἰς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι.
μολόντι δ' αὐτῷ, μαλθακοὺς λέξω λόγους
ὡς καὶ

ὡς καὶ δοκεῖ μοι ταῦτα καὶ καλῶς ἔχει,
γάμους τυράννων, οὓς προδοὺς ἡμᾶς, ἔχει.
καὶ ξύμφορ' εἶναι, καὶ καλῶς εἰργασμένα.
παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι.
οὐχ ὡς λιποῦσα πολεμίους ἐπὶ χθονὸς
ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνῳ.
πέμψω γὰρ αὐτοὺς δῶρ' ἔχοντας ἐν χεροῖν,
νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα,
λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον.
κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
κακῶς ὀλεῖται, πᾶς δ' ὃς ἂν θίγῃ κόρης.
τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
ἐνταῦθα μέντοι τόνδ' ἀπαλλάσσω λόγον.
ᾤμωξα δ' οἷον ἔργον ἔς' ἐργαστέον
τοὐντεῦθεν ἡμῖν. τέκνα γὰρ κατακτανῶ
τἄμ'. οὔτις ἐστὶν, ὅστις ἐξαιρήσεται.
δόμον τε πάντα συγχέασ' Ἰάσονος,
ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
φεύγουσα, καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
» οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν φίλαι.
ἴτω. τί μοι ζῆν κέρδος; οὔτ' ἐμοὶ πατρὶς,
οὔτ' οἶκος ἐστὶν, οὔτ' ἀπεστροφὴ κακῶν.
ἡμάρτανον τόθ', ἡνίκ' ἐξελίμπανον
δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
πεισθεῖσ', ὃς ἡμῖν σὺν θεῷ τίσει δίκην.
οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
ζῶντας τολοιπὸν, οὔτε τῆς νεοζύγου
νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακῶς κακῶν
θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.

μηδείς

μηδείς με φαύλην κἀσθενῆ νομιζέτω,
μηδ' ἡσυχαίαν. ἀλλὰ θατέρου τρόπου,
» Βαρεῖαν ἐχθροῖς, καὶ φίλοισιν εὐμενῆ.
» Τῶν γὰρ τοιούτων, εὐκλεέστατος βίος.
χο ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
σέ τ' ὠφελεῖν θέλουσα, καὶ νόμοις βροτῶν
ξυλλαμβάνουσα, δρᾷν σ' ἀπεννέπω τάδε.
μή οὐκ ἔστιν ἄλλως σοὶ δὲ συγγνώμη λέγειν
τάδ' ἐστι, μὴ πάσχουσαν ὡς ἐγὼ κακῶς.
χο ἀλλὰ κτανεῖν σὸν σπέρμα τολμήσεις γύναι;
μή οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.
χο σὺ δ' ἂν γένοιόγ', ἀθλιωτάτη γυνή
μή ἴτω. περισσοὶ πάντες οἱ ν μέσω λόγοι
ἀλλ' εἴα χώρει, καὶ κόμιζ' Ἰάσονα.
εἰς πάντα γὰρ δή σοι τὰ πιστὰ χρώμεθα.
λέξεις δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων.
χο εἴπερ φρονεῖς εὖ δεσπόταις, γυνήτ' ἔφυς.
Ἐρεχθεῖδαι τοπαλαιὸν ὄλβιοι,
καὶ θεῶν παῖδες μακάρων,
ἱερᾶς χώρας ἀπορθήτου
τ' ἀπόφερβόμενοι,
κλεινοτάταν σοφίαν,
αἰεὶ διὰ λαμπροτάτου
βαίνοντες ἁβρῶς αἰθέρος,
ἔνθά ποθ' ἁγνὰς
ἐννέα πιερίδας
λέγουσι μούσας
ξανθὰν Ἁρμονίαν φυτεῦσαι.
καλλινάου τ' ἐπὶ Κηφισοῦ ῥοαῖς
τὰν Κύπριν κληΐζουσιν ἀφυ

 σαμένην

πεμψάμην χώραν καταπνεῦσαι
μητρίας ἀύτμους
ἁλυπνόους αὔρας.
ἀεὶ δ' ἐπὶ βαλομένᾳ
χάιτασιν δύωδι κρόδα
ὠν πλόκον ἀνθέων,
τᾷ σοφίᾳ παρέδρους
πέμπειν ἔρωτας,
πανοπίας ἀρετᾶς ξυνοργούς.
πῶς ἂν ἱερῶν ποταμῶν,
ἢ πόλις, ἢ φίλων
πόμπιμον σε χώρας
τὰν παιδολέτειραν ἔξει,
τὰν ἀχόσιαν, μετ' ἄλλων
σκέψαι τεκέων πλαγάν.
σκέψαι φόνον οἷον αἴρῃ.
μὴ πρὸς γονάτων σε πάντες
πάντως ἱκετεύομεν,
μὴ τέκνα φονεύσῃς.
πῶς δὲ θράσος ἢ φρενός, ἢ
χειρὶ τέκνων σέθεν,
καρδίᾳ τε λήψῃ
δεινᾶν προσάγουσα τόλμαν;
πῶς δ' ὄμματα προσβαλοῦσα
τέκνοις ἄδακρυν μοῖραν
ξήσεις. φόνον δ' ἀλιτήσῃ
παίδων ἱκετᾶν πιτνόντων
τέγξει χόρα φοίνιον
ἐν τλάμονι θυμῷ.
ἰὼ ἰὼ κελαδεῖς, καὶ γὰρ ὄζα ξυσμωνὶς,

δὲ

δὲ κἄν γ' ἁμάρτοις τοῦδ' ἔγ', ἀλλ' ἀπόσσομαι.
τί χρῆμα βάλει καινὸν ἐξ ἐμοῦ γυναι.
μὴ Ἰάσομ', αἰτοῦμαί σε τῶν εἰρημένων
συγχνώμονα εἶναι. τὰς δ' ἐμὰς ὀργὰς φέρειν
εἰκὸς γ', ἐπεὶ νῷν πολλ' ἐπεργασται φίλα.
ἐγὼ δ' ἐμαυτῇ δρᾶ λόγων ἀφικόμην,
κἀβουλίαισιν. χετλία, τί μαίνομαι,
καὶ δυσμενὴς κάνω τοῖσι βουλεύσασιν εὖ,
ἐχθρὰ δ' ὑγιαίνουσι κοιράνοις καθίσταμαι,
ποσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
γήμας τύραννον, καὶ κασιγνήτους τέκνοις
ἐμοῖς φυτεύων; δὴ ἀπαλλαχθήσομαι
θυμοῦ; τί πάσχω, θεῶν προεζόντων καλῶς;
ἔχ εἰσι μοὶ πατρίδες οἶσθα δὲ χθονα
φεύγοντας ἡμᾶς, καὶ ξυναίζοντας φίλων.
ταῦτ' ἐννοηθεῖσ', ἀδόμισα ἀβουλίαν
πολλὴν ἔχουσα, καὶ μάτην θυμουμένη.
νῦν δ' ἐπαινῶ. σωφρονεῖν τ' ἐμοὶ δοκεῖς
κἀδὸς τοῦδ' ἡμῖν πρόσοικος. ἐγὼ δ' ἄφρων,
ἃ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων,
καὶ ξυμπράσσειν, ἐς πρέσσειν λέχη,
νύμφην τε κηδεύσαν ἥδιστ' σέθεν.
» Ἀλλ' ἐσμέν, οἷον ἐσμὲν δὴ ἐρῶ κακὸν
» γυναῖκες. ἄκαν χρῆν σ' ἐμοιδᾶν κακοῖς,
δ' ἀντιτείνειν νηπι ἀντὶ νηπίων.
παρείμεθα, ἐς φαυλὰ κακῶς φρονεῖν
τότ'. ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
ὦ τέκνα, τέκνα, δεῦτε λείπετε στέγας.
ἔξελθατ', ἀσπάσασθε καὶ προσείπατε
πατέρα μεθ' ἡμῶν, καὶ δυναλλάχθητ' ἔμοι

τὴ πρόσθεν ἔχθρας εἰς φίλους μητρὸς μέτα.
σπονδαὶ γὰρ ἡμῖν καὶ μεθέστηκεν χόλος.
λάβεσθε χειρὸς δεξιᾶς. οἴμοι κακῶν
ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
ἆρ' ὦ τέκν', ὅτω καὶ πολὺν ζῶντες χρόνον,
φίλων ὀρέξετ' ὠλένην; τάλαιν' ἐγώ.
ὡς ἀρτίδακρύς εἰμι, καὶ φόβου πλέα.
χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη,
ὄψιν τερείνην τήνδ' ἔπλησα δακρύων.
χο κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ,
καὶ μὴ προβαίη μεῖζον, ἢ τὸ νῦν κακόν.
ἰά αἰνῶ γύναι τάδ. οὐδ' ἐκεῖνα μέμφομαι.
εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος,
γάμους παρεμπολῶντι γ' ἀλλοίους πόσει.
ἀλλ' εἰς τὸ λῷον σὸν μεθέστηκεν κέαρ.
ἔγνως δὲ τὴν νικῶσαν, ἀλλὰ τῷ χρόνῳ
βουλήν. γυναικὸς ἔργα ταῦτα σώφρονος.
ὑμῖν δὲ παῖδες οὐκ ἀφροντίστως πατὴρ
πολλὴν ἔθηκε σὺν θεοῖς σωτηρίαν.
οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι.
ἀλλ' αὐξάνεσθε. τἄλλα δ' ἐξεργάζεται
πατήρ τε, καὶ θεῶν ὅστις ἐστὶν εὐμενής.
ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
αὐτὴ τί χλωροῖς δακρύοις τέγγεις κόρας,
στρέψασα λευκὴν ἔμπαλιν παρηΐδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
μή οὐδέν, τέκνων τῶνδ' ἐννομένη πέρι.
ἰά θάρσει νῦν. εὖ γὰρ τῶν δ' ἐγὼ θήσω πέρι.

μή δρά

μή δράσω τάδ'. οὔτι σοῖς ἀπιστήσω λόγοις.
γυνὴ γ', θῆλυ, καπὶ δακρύοις ἔφυ.
ἰά τί δῆτα λίαν ποῖσδ' ἐπιστένεις τέκνοις;
μή ἔτικτον αὐτούς. ζῆν δ' ὅτ' ἐξήνυχον τέκνα,
εἰσῆλθέμ' οἶκτος εἶ γενήσεται τάδε.
ἀλλ' ὧνπερ οὕνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
τὰ μὲν λέλεκται, τῶνδ' ἐγὼ μνησθόσομαι,
ἐπεὶ τυράννοις γῆς μ' ἀπεστέλλειν δοκεῖ.
κἀμοὶ τάδ' ἐστὶ λῷστα γιγνώκω καλῶς,
μήτ' ἐμποδὼν σοι, μήτε κοιράνοις χθονὸς
ναίειν. δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις.
ἡ μεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ.
παῖδες δ' ὅπως ἂν ἐκτραφῶσιν σῇ χερί,
αὐτοῦ Κρέοντα τήνδε μὴ φεύγειν χθονα.
ἰά οὐκ οἶδ' εἰ πείσαιμι. πειρᾶσθαι δὲ χρή.
μή σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
γυναῖκα, παῖδας τήνδε μὴ φεύγειν χθονα.
ἰά μάλιστα καὶ πείσειν γε δοξάζω σφ' ἐγὼ,
εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.
μή συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου.
πέμψω γὰρ αὐτῇ δῶρ' ἃ καλλιστεύετε
τῶν νῦν ἐν ἀνθρώποισιν. οἶδε ἐγὼ πολύ,
λεπτόν τε πέπλον, καὶ στέφος χρυσήλατον
παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν
κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
εὐδαιμονήσει δ' οὐχ ἕν, ἀλλὰ μυρία.
ἀνδρός γ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου,
κεκτημένη τε κόσμον, ὃν ποθ' ἥλιος
πατὴρ πατρὸς δίδωσιν ἐκγόνοισιν οἷς.
λάζυσθε φερνὰς τάσδε παῖδες εἰς χέρας,

 καὶ τῇ

καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
φέροντες. ὅτοι δῶρα μεμπτὰ δέξεται.
ἰά τίδ' ὦ ματαία τῶνδε σὰς κενοῖς χεράς;
δοκεῖς σπανιζειν δῶμα βασίλειον πέπλων;
δοκεῖς δὲ χρυσοῦ; σῶζε, μὴ διδοῦ τάδε.
εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
γυνὴ, προθήσει χρημάτων σάφ' οἶδ' ἐγώ.
μή μοι σύ. Γείθειν δῶρα καὶ θεοὺς λόγος
μή Χρυσὸς δέ, κρείσσων μυρίων λόγων βροτοῖς,
α κείνης ὁ δαίμων κεῖνα νῦν αὔξει θεός
νέα τυραννεῖ. τῶνδ' ἐμῶν παίδων φυγὰς,
ψυχῆς ἂν ἀλλαξαίμεθ' οὐ χρυσοῦ μόνον.
ἀλλ' ὦ τέκν', εἰς ἐλθόντε πλησίους δόμους,
πατρὸς νέαν γυναῖκα, δεσπότιν τ' ἐμὴν
ἱκετεύτ', ἐξαιτεῖσθε μὴ φυγεῖν χθόνα,
κόσμον διδόντες τοῦδε γὰρ μάλιστα δεῖ,
εἰς χεῖρ' ἐκείνης δῶρα δέξασθε τάδε.
ἰθ' ὡς τάχιστα. μητρί δ' ὧν ἐρᾷ τυχεῖν,
εὐάγγελοι γένοισθε πράξαντες καλῶς.
χο νῦν ἐλπίδες οὐκ ἔτι μοι παίδων ζωᾶς
οὐκέτι. σείχουσι γὰρ εἰς φόνον ἤδη
δέξεται νύμφα χρυσέων ἀναδέσμων.
δέξεται δύστανος ἄταν
ξανθᾷ δ' ἀμφὶ κόμᾳ
θήσει τὸν ἀΐδα κόσμον
ταὐτὰ ταῖν χεροῖν λαβοῦσα.
πείσει χάρις, ἀμβρόσιός τ' αὐγὰ πέπλου,
χρυσεοτεύκτου στέφανον περιθέσθαι.
νερτέροις δ' ἤδη πάρα νυμφοκομήσει.
τοῖον εἰς ἕρκος πεσεῖται

καὶ μοῖραν θανάτου
προσλήψεται δύστανος.
ἄταν δ' οὐχ ὑπεκφεύξεται.
σύ δ' ὦ τάλαν, ὦ κακόνυμφε
κηδεμὼν τυράννων,
παισὶν οὐ κατειδὼς
ὀλέθριον βιοτὰν προσάγεις,
ἀλόχῳ τε σᾷ στυγερὸν θάνατον.
δύστανε, μοίρας ὅσον παροίχῃ.
μεταστένομαι δὲ σὸν ἄλγος
ὦ τάλαινα παίδων
μᾶτερ. ἃ φονεύσεις
τὰ τέκνα νυμφιδίων ἕνεκεν
λεχέων. ἃ σοι προλιπὼν ἀνόμως
ἄλλῃ ξυνοικεῖ πόσις συνεύνῳ.
παι δέσποιν', ἀφεῖνται παῖδες οἵδε σοὶ φυγῆς,
καὶ δῶρα νύμφῃ βασιλὶς ἀσμένη χεροῖν
ἐδέξατ'. εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
μή ἔα.. Γ. τί συγχυθεῖσ' ἕστηκας ἡνίκ' εὐτυχεῖς;
τί σὴν ἔτρεψας ἔμπαλιν παρηΐδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
μή αἶ. αἶ.
παι τάδ' οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.
μή αἶ αἶ μάλ' αὖθις. .Γ. μῶν τιν' ἀγγέλλων τύχην
οὐκ οἶδα, δόξης δ' ἐσφάλην εὐαγγέλου;
μή ἤγγειλας οἷ' ἤγγειλας. οὔσε μέμφομαι.
παι τί δὴ κατηφεῖς ὄμμα, καὶ δακρυῤῥοεῖς;
μή πολλή μ' μ' ἀνάγκη πρέσβυ. ταῦτα γὰρ θεοὶ
κἀγὼ κακῶς φρονοῦσ' ἐμηχανησάμην.
παι θάρσει. κρατεῖς τοι καὶ σὺ πρὸς τέκνων ἔτι.

μή ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν' ἐγώ.
παι οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνον.
» Κούφως φέρειν χρὴ θνητὸν ὄντα, συμφοράς.
μή δράσω τάδ'. ἀλλὰ βαῖνε δωμάτων ἔσω,
καὶ παισὶ πόρσυν' οἷα χρὴ καθ' ἡμέραν.
ὦ τέκνα, τέκνα, σφῶν μὲν ἔστι δὴ πόλις,
Ἐ δῶμ', ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ,
οἰκήσετ' αἰεὶ μητρὸς ἐστερημένοι.
ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγὰς,
πρὶν σφῶν ὄνασται, κἀπιδεῖν εὐδαίμονας,
πρὶν λέκτρα, καὶ γυναῖκα, καὶ γαμιλίους
εὐνὰς ἀγῆλαι, λαμπάδας τ' ἀνασχέθειν.
ὦ δυστάλαινα, τῆς ἐμῆς αὐθαδίας.
ἄλλως ἄρ' ὑμᾶς ὦ τέκν' ἐξεθρεψάμην.
ἄλλως δ' ἐμόχθουν, καὶ κατεξάνθην πόνοις,
στέρρας ἐνεγκοῦσ' ἐν τόκοις ἀλγηδόνας.
ἦ μὴν πόθ' ἡδύστηνος εἶχον ἐλπίδας
πολλὰς ἐν ὑμῖν γηροβοσκήσειν τ' ἐμέ,
Ἐ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
ζηλωτὸν ἀνθρόποισι. νῦν δ' ὄλωλε δὴ
γλυκεῖα φροντὶς σφῶν γὰρ ἐστερημένη,
λυπρὸν διάξω βίοτον, ἀλγεινόν σ' ἐμοί.
ὑμεῖς δὲ, μητέρ' οὐκέτ' ὄμμασιν φίλοις
ὄψεσθ' ἐς ἄλλο σχῆμ' ἀρτάντες βίου.
φεῦ. φεῦ τί προσδέρκεσθέ μ' ὄμμασιν τέκνα;
τί προσγελᾶτε τὸν πανύστατον γέλων;
αἶ. αἶ τί δράσω; καρδία γὰρ οἴχετε.
γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων,
οὐκ ἂν δυναίμην. χαιρέτω βουλεύματα
τὰ πρόσθεν. ἄξω παῖδας ἐκ γαίας ἐμούς.

τί δεῖ

τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
λυποῦσαν, αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
οὐ δῆτ' ἔγωγε. χαιρέτω βουλεύματα.
καίτοιτί πάσχω; βούλομαι γέλωτ' ὄφλειν,
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
τολμητέον τάδ'. ἀλλὰ τῆς ἐμῆς κάκης,
τὸ Ἐ προέσθαι μαλθακοὺς λόγους φρενί.
χωρεῖτε παῖδες εἰς δόμους ὅτῳ δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
αὐτῷ μελλήσει. χεῖρα δ' οὐ διαφθερῶ.
ἆ. ἆ. μὴ δῆτα θυμὲ. μὴ σύ γ' ἐργάσῃ τάδε.
ἔασον αὐτούς. ὦ τάλαν, φεῖσαι τέκνων.
ἐκεῖ μεθ' ἱμῶν ζῶντες, εὐφρανοῦσί σε.
μὰ τοὺς παρ' ᾅδην νερτέρους ἀλάστορας,
οὔτοι πότ' ἔσται τοῦθ', ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
πάντως σφ' ἀνάγκη κατθανεῖν. ἐπεὶ δὲ χρὴ,
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
πάντως πέπρακται ταῦτα, κοὐκ ἐκφεύξεται.
καὶ δὴ 'πὶ κρατὶ στέφανος ἐν πέπλοισί τε
νύμφη τύραννος ὄλλυται. σάφ' οἶδ' ἐγώ.
ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν,
Ἐ τούσδε πέμψω τλημονεστέραν ἔτι
παῖδας. προσειπεῖν βούλομαι. δότ' ὦ τέκνα,
δότ', ἀσπάσασθε, μητρὶ δεξιὰν χέρα.
ὦ φιλτάτη χεὶρ, φίλτατον δέ μοι στόμα,
Ἐ σχῆμα, καὶ πρόσωπον εὐγενὲς τέκνων,
εὐδαιμονοῖτον. ἀλλ' ἐκεῖ. τὰ δ' ἐνθάδε,
πατὴρ ἀφείλετ'. ὦ γλυκεῖα προσβολὴ,
ὦ μαλθακὸς χρὼς, πνεῦμά θ' ἥδιστον τέκνων,

χωρεῖτε, χωρεῖτ'. οὐκέτ' εἰμὶ πρόσβλεπτός
οἵατ' ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
καὶ μανθάνω μὲν ὅσα τολμήσω κακά,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.
Ὁ Οστορ μεγίστων ἄιτιος κακῶν βροτοῖς.
Χο πολλάκις ἤδη σοῦ λεπτοτέρων
μύθων ἤκουσ', καὶ πρὸς ἀμίλλας
ἦλθον μείζους, εἰ χρὴ γενεὰν
θῆλυν ἐρεθνεῶν. ἀλλὰ γάρ ὄζει
μοῦσα καὶ ἡμῖν, ἢ προσομιλεῖ,
σοφίας ἕνεκεν. πάσαισι μὲν οὖν
παῦρόν σ' ἦ γένος ἐν πολλαῖσιν
εὕροις ἂν ἴσως,
κοὐκ ἀπόμορον τὸ γυναικῶν.
καὶ φημὶ βροτῶν, οἵτινες εἰσὶ
πάμπαν ἄπειροι, μήθ' ἑφύτευσαν
παῖδας, προφέρειν εἰς δύτυχίαν
τῶν γεναμένων.
οἱ μὲν τ' ἄτεκνοι σ' ἀπειροσύναν,
εὖθ' ἥδιν βροτοῖς, εἶτ' ἀνιαρὸν
παῖδες τελέθουσ', ὀχὶ τυχόντες,
πολλῶν μόχθων ἀπέχοντα.
ὅσοισι δ' τέκνων ὄζει ἐν οἴκοις
γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
κατατρυχομένους τὸν ἅπαντα χρόνον.
πρῶτον μὲν ὅπως θρέψωσι καλῶς,
βιότου θ' ὁπόθεν λείψουσι τοκεῦσιν.
ἔτι δ' ἐκ τούτων, εἴτ' ἐπὶ φλαύροις,
εἴτ' ἐπὶ χρηστοῖς μοχθοῦσι, τόδ' ἔστιν ἄδηλον.
ἓν δὲ τὸ πάντων λοιδορητόν, ἥδε

πᾶσιν

πᾶσιν κατόρθωσ' ἐνεστὶ κοὐκέτ' ἔστ' ἄλλως.
Ὦ δύστηνε γυνή, βίοτον εὕρομεν,
σώματά τ' εἰς ἄβλαβ' ἦλθε τέκνων.
χρήσιμοί τ' ἐγγόνοις. εἰ δὲ πυρήσει
δίκαιμον, ὅστις φρενῶν εἰς ἀίδαν
θάνατος προφέρων σώματα τέκνων.
πῶς δῆτα λύπῃ πῶς τοῖς ἄλλοις
τήνδ' ἐπὶ λύπῃ ἀνιαροτάτῃ
παίσω γένεσιν
θυητοῖσι θεὸς ἐπιβάλλῃ.
μὴ φίλαι, πάλαι τοι προσμένουσα τλῶ τύχαν,
λαρασθήκω τἀκεῖθεν οἱ προθήσετε.
καί τοι σίδηρκα τόνδε τῶν Ἰάσονος
εἴχοντ' ὀπάσω, πνεῦμά τ' ἠρεθισμένον.
δείκνυσι δ' ὡς ἰδαίνον ἀγγελεῖ κακόν.
ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη
Μήδεια, φεῦγε, φεῦγε, μήτε ναΐαν
λιποῦσ' ἀπήνην, μήτ' ἄχον πεδοστιβῆ.
μὴ τίδ' ἄξιόν μοι πῶδε τυγχάνει φυγῆς;
ἔα ὀλωλὼς ἡ τύραννος ἀρτίως κόρη,
Κρέων θ' ὁ φύσας, φαρμάκοισιν τῶν σῶν ὕπο.
μὴ καλλίσην εἶπας μῦθον. ὧν δ' οὐδὲν ἐστὰς
πολυπόνου ἤδη καὶ φίλοις ἐμοῖς ἔσῃ
ἔα τί φὴς; φρονεῖς μὲν ὀρθά, κοὐ μάτην γώμε,
ἥτις τυράννων ἑστίαν ἠλίσμεθα,
χαίρεις κλύουσα, κοὐ φοβῇ τὰ τοιάδε;
μὴ ἔχω τί κἀγὼ τοῖσδε σοῖς φωνήμασιν
λόγοισιν εἰπεῖν. ἀλλὰ μὴ σπεύδου φίλος.
λέξον δὲ πῶς ὤλεσε δίς τόσον γῆν σὸν
τρόφιμας ἡμᾶς, εἰ τί θυμῶσι τυγχάνει.

ἄγ ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
σὺν πατρὶ, καὶ παρῆλθε νυμφικοὺς δόμους,
ἥσθημεν, οἵπερ τοῖς ἐκάμνομεν κακοῖς
δίμωες. δι' ὤτων δ' εὐθὺς ἦν πολὺς λόγος,
σὲ, καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
κύνει δ' ὁμέν τις χεῖρ', ὁδὲ, ξανθὸν κάρα
παίδων. ἐγὼ δὲ κἀυτὸς ἡδονῆς ὕπο,
στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἐσπόμην.
δέσποινα δ', ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάτονα.
ἔπειτα μέντοι προὐκαλύψατ' ὄμματα,
λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηΐδα,
παίδων μυσαχθεῖσ' εἰσόδους. πόσις δὲ σὸς
ἐργάς τ' ἀφήρει, καὶ χόλον νεάνιδος,
λέγων. τάδ', οὐ μὴ δυσμενὴς ἔσῃ φίλοις,
παύσῃ δὲ θυμοῦ, καὶ πάλιν στρέψεις κάρα,
φίλους νομίζουσ', οὕσπερ ἂν πόσις σέθεν.
δέξῃ δὲ δῶρα, καὶ παραιτήσῃ πατρὸς
φυγὰς ἀφεῖναι παισὶ τοῖσδ', ἐμὴν χάριν.
ἥδ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
ἀλλ' ἤνεσ' ἀνδρὶ πάντα. καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
λαβοῦσα πέπλους ποικίλους ἠμπέσχετο.
χρυσοῦν τιθεῖτα στέφανον ἀμφὶ βοστρύχοις,
λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προσγελῶτα σώματος.
κἄπειτ' ἀναστᾶς ἐκ θρόνων, διέρχεται
στέγας, ἁβρὸν βαίνουτα παλλεύκῳ ποδὶ,
δώροις ὑπερχαίρουτα, πολλὰ πολλάκις

τένοντ'

τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη
τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ' ἰδεῖν.
χροιὰν γὰρ ἀλλάξασα, λεχρία πάλιν
χωρεῖ τρέμουτα κῶλα, καὶ μόλις φθάνει
θρόνοισιν ἐμπεσοῦσα μὴ χαμαὶ πεσεῖν.
καί τις γεραιὰ προσπόλων, δόξασάπου
ἢ Πανὸς ὀργὰς, ἢ τινος θεῶν μολεῖν,
ἀνωλόλυξε, πρίν γ' ὁρᾷ κατὰ στόμα
χωροῦντα λευκὸν ἀφρὸν, ὀμμάτων τ' ἄπο
κόρας στρέφουταν, αἷμά τ' οὐκ ἐνὸν χροί.
εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
κωκυτόν. εὐθὺς δ' ἡμὲν, εἰς πατρὸς δόμους
ὥρμησεν. ἡδὲ, πρὸς τὸν ἀρτίως πόσιν,
φράσουσα νύμφης συμφοράν. ἅπαντα δὲ
στέγη, πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
ἤδη δ' ἀνέλκων κῶλον ἔκπλεθρον δρόμου,
ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετο.
ἥδ' ἐξ ἀνάνδου καὶ μύτανος ὄμματος
δεινὸν στενάξασ', ἡ τάλαιν' ἠγείρετο.
διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο.
χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος,
θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός.
πέπλοι δὲ λεπτοὶ σῶν τέκνων δωρήματα,
λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
φεύγει δ' ἀναστᾶσ' ἐκ θρόνων πυρουμένη,
σείουτα χαίτην. κρᾶτά τ' ἄλλοτ' ἄλλοσε
ῥίψαι θέλουτα στέφανον. ἀλλ' ἀρηρότως
σύνδεσμα χρυσὸς εἶχε. πῦρ δ' ἐπεὶ κόμην
ἔσεισε, μᾶλλον δὶς τόσον δ' ἐλάμπετο.
πίτνει δ' ἐπ' οὖδας συμφορᾷ νικωμένη,

πλὴν τοῦ

φίλων ἔρρ' ἐκόντα κἄρτα δ' ὐσμαθὴς ἰδεῖν.
ὅτ' ὀμμάτων γὰρ δ' ἦλος ὢν κατάστασις,
ὅτ' ὀὐφνὶς πρόσωπον. αἷμα δ' ἐξ ἄκρου
ἔπαζε κρατὸς συμπεφυρμένον πυρί.
σάρκες δ' ἀπ' ὀστέων ὥστε πρόκινον λάκρυ,
γναθμῶν ἀθλίοις φαρμάκοις ἀπέῤῥεον.
δεινὸν θέαμα. πᾶσι δ' ὢν φόβος θιγεῖν
νεκρόν. τύχῃ γὰρ εἶχομεν διδάσκαλον.
πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ,
ἄφνω προσελθὼν δῶμα, προσπίτνει νεκρῷ.
ὤμωξε δ' οὖθύς. καὶ περιπτύξας χρόα,
κύσει προσαυδᾷ τοιάδ'. ὦ δύστηνε παῖ,
τίς σ' ὧδ' ἀτίμως δαιμόνων δ' ἀπώλεσε;
τίς τὸν γέροντα τύμβου ὀρχαμὸν σέθεν
τίθησιν; οἴμοι. συμβαίνοιμί σοι τέκνον.
ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
χρήζων γεραιὸν ἐξανασπῆσαι δέμας,
προσεῖχεν, ὥστε κισσὸς ἕρπουσιν δάφνης,
λεπτοῖσι πέπλοις. δεινὰ δ' ὢν παλαίσματα.
ὁμοῦ, γ' ἤθελ' ἐξανασπῆσαι γόνυ,
ἅδ' ἀντιλάζετ'. εἰ δὲ πρὸς βίαν ἄγοι,
σάρκας γεραιὰς ἐσπάρασσ' ἀπ' ὀστέων.
χρόνῳ δ' ἀπέστη, καὶ μεθῆκ' ὀδύσμορον
ψυχήν. κακὸν γὰρ ὄπετ' ὢν ἐσῤῥᾴτερον.
κεῖνται δ' νεκροὶ πᾶς τε, καὶ γέρων πατὴρ
πέλας. πόθεινα δακρύοισι συμφορά.
νῷ μοι τὸ μὲν σὸν ἐκπονῶ ἔσω λόγου.
γνώσῃ γ' αὐτὴ ζημίας ἀκροφήν.
» Τὰ θνητὰ δ' ὡς νῦν πρῶτον ἡγοῦμαι σκιάν.
» Οὐδ' ἂν πρίζας εἴποιμι τοὺς ζοφοὺς βροτῶν

» Δοκοῦντας εἶναι, καὶ μεριμνητὰς λόγων.
» Τούτοις μεγίστῳ μωρίαν ὀφλισκάνειν.
» Θνητῶν γὰρ ὃς εἰς ἔστιν ὐδαίμων ἀνήρ.
» Ὀλβὸς δ' ἐπῤῥύγχους, ὐτυχέστερος
» Ἀλλ' γένοιτ' ἂν ἄλλος. ὐδαίμων δ' ἂν ὅδ'.
χο ἔοικ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
κακὰ ξυνάψειν ἐνδίκως Ἰάσονι.
ὦ τλῆμον, ὡς σε συμφορᾶν οἰκτείρομεν
κόρη Κρέοντος, ἥτις εἰς ᾅδου δόμους
οἴχῃ, γάμων ἕνεκα τῶν Ἰάσονος.
μή φίλαι, δέδοκται τἄργον ὡς τάχιστά μοι
πᾶσαι λιταυδᾶν, τῆσδ' ἀφορμᾶσθαι χθονός.
καὶ μὴ χολὴν ἄγοισαν, ἐκδοῦναι τέλινα
ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χορί.
πάντως σφ' ἀνάγκη κατθανεῖν. ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
ἀλλ' εἶ' ὁπλίζου καρδία. τί μέλλομεν
τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
ἄγ' ὦ τάλαινα χεὶρ ἐμή, λάβε ξίφος,
λάβ', ἕρπε πρὸς βαλβίδα λυπρὰν βίου,
καὶ μὴ κακισθῇς, μηδ' ἀναμνησθῇς, τέκνων
ὡς φίλτατ', ὡς ἔτικτες. ἀλλὰ τήνδ' ἐγὼ
λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν.
κἄπειτα θρήνει. καὶ γὰρ εἰκτείνεις σφ', ὅμως
χίλιοι ἔφυσαν, δυσυχὴς δ' ἐγὼ γυνή.
χο ἰὼ γᾶ τε, καὶ παμφαὴς ἀκτὶς
ἀελίου, κατίδετε, ἴδετε τὰν
ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον.
σᾶς γὰρ ἐκ χρυσέας

γονᾶς ἔβλαστεν. θεῶν
δ' αἷμα πιτνεῖν φόβος ὑπ' ἀνέρων.
ἀλλάνιν ὦ φάος διογενὲς, κάτειργε.
κατάπανσον. ἔξελ' οἴκων φοινίαν,
τάλαινάν τ' ἐριννὺν ὑπ' ἀλαστόρων.
μάταν μόχθος ἔρρει τῶν τέκνων,
καὶ μάταν γένος φίλιον τέκες, ὦ
κυανεᾶν λιποῦσα συμπληγάδων
πετρᾶν ἀξενωτάταν. εἰσβολάν
δειλαία, τί σοι φρενῶν
βαρὺς χόλος προσπιτνεῖ,
καὶ δυσμενὴς φόνος ἀμείβεται;
χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσμα
τ' ἔπι γαῖαν αὐτοφόνταισι ξύνοι
δαθεόθεν πιτνόντ' ἐπὶ δόμοις ἄχη
παῖς οἴμοι. τί δράσω; ποῖ φύγω μητρὸς χέρας;
ετε οὐκ οἶδ' ἀδελφὲ φίλτατ'. ὀλλύμεσθα γὰρ.
χο ἀκούεις βοάν; ἀκούεις τέκνων;
ἰὼ τλᾶμον. ἰὼ κακοτυχὲς γύναι.
παρέλθω δόμους. ἀρῆξαι φόνον.
δοκεῖ μοι τέκνοις.
παῖ ναὶ πρὸς θεῶν ἀρήξατ', ἐνδέοντι γὰρ.
ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξιφους.
τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος ἢ σί
χο δαρος, ἅτις τέκνων ὧν ἔτεκες
ἄροτον, αὐτόχειρι μοίρᾳ κτενεῖς.
μίαν δὴ κλύω, μίαν τῶν πάρος
γυναῖκα φίλοις χέρα προσβαλεῖν τέκνοις
Ἰνὼ μανεῖσαν ἐκ θεῶν ὅθ' ἡ Διὸς
δάμαρ νιν ἐξέπεμψε δωμάτων ἅλῃ.

πίπτει

πίπτει δ' ἁ τάλαιν' ἐς ἅλμαν φόνῳ
τέκνων δυσσεβεῖ,
ἀκτῆς ὑπερτείνασα ποντίας πόδα.
δυοῖν δὲ παίδοιν ξυνθανοῦσ', ἀπόλλυτρ'.
τί δή ποτ' οὖν γένοιτ' ἂν ἔτι δεινὸν,
ὦ γυναικῶν λέχος πολύπονον;
ὅσα δὴ βροτοῖς ἔρεξας ἤδη κακά.
ἰά γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἕστατε στέγης,
ἆρ' ἐν δόμοισιν ἡ τὰ δεῖν' εἰργασμένη
Μήδεια τοῖσιν, ἢ μεθέστηκεν φυγῇ;
δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
ἢ πτηνὸν ἆραι σῶμ' ἐς αἰθέρος βάθος.
εἰ μὴ τυράννων δώμασιν δώσει δίκην,
πέποιθ' ἀρκτείνασα κοιράνους χθονὸς,
ἀθῶος αὐτὴ τῶνδε φεύξεσθαι δόμον;
ἀλλ' οὐ γὰρ αὐτῆς φροντίδ' ὡς τέκνων ἔχω.
κείνην μὲν, οὓς ἔδρασεν, ἔρξουσιν κακῶς.
ἐμῶν δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,
μή μοι τι δράσωσ' οἱ προσήκοντες γένει,
μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
χο ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας
Ἰᾶσον. οὐ γὰρ τοῦσδ' ἂν ἐφθέγξω λόγους.
ἰά τίδ' ἐστιν; ἦπου κἄμ' ἀρκτεῖναι θέλει;
χο παῖδες τεθνᾶσι χειρὶ μητρώᾳ σέθεν.
ἰά οἴ μοι, τί λέξεις; ὥς μ' ἀπώλεσας γύναι.
χο ὡς οὐκ ἔτ' ὄντων σῶν τέκνων φροντίζε δή.
ἰά ποῦ γὰρ νιν ἔκτειν' ἐντὸς, ἢ ξωθεν δόμων;
χο πύλας ἀνοίξας, σῶν τέκνων ὄψει φόνον.
ἰά χαλᾶτε κλῇδας ὡς τάχιστα πρόσπολοι.
ἐκλύεθ' ἁρμοὺς, ὡς ἴδω δι' πλοῦν κακὸν

τοὺς μὲν, θανόντας. τὴν δὲ, τίσωμαι τίκην.
μή τί τάσδε κινεῖς κἀνα μοχλεύεις πύλας
νεκροὺς ἐρευνῶν, κἀ μὲ τὴν εἰργασμένην;
παῦσαι πόνου τοῦδ'. εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
λέγ' εἴ τι βούλει. χεῖρὶ δ' οὐ ψαύσεις ποτέ.
τοιόνδ' ὄχημα πατρὸς ἥλιος πατὴρ
δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.
αἰ ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι
θεοῖς τε, κἀμοὶ, παντί τ' ἀνθρώπων γένει,
ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
ἔτλης τεκοῦσα, κἄμ' ἄπαιδ' ἀπώλεσας.
καὶ ταῦτα δράσασ', ἥλιόν τε προσβλέπεις,
καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
ὄλοι. ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν
ὅτ' ἐκ δόμων σε, βαρβάρου τ' ἀπὸ χθονὸς
Ἕλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
πατρός τε, καὶ γῆς προδότιν, ἥ σ' ἐθρέψατο.
τὸν σὸν δ' ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί.
κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
τὸ καλλίπρωρον εἰσέβης Ἀργοῦς σκάφος.
ἤρξω μὲν ἐκ τοιῶνδε νυμφευθεῖσα δὲ
παρ' ἀνδρὶ τῷδε, καὶ τεκοῦσά μοι τέκνα,
εὐνῆς ἕκατι καὶ λέχους σφ', ἀπώλεσας.
οὐκ ἔστιν ἥτις τοῦτ' ἂν ἑλληνὶς γυνὴ
ἔτλη πόθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
γῆμαί σε, κῆδος ἐχθρὸν, ὀλέθριόν τ' ἐμοὶ,
λέαιναν, οὐ γυναῖκα, τῆς τυρσηνίδος
σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
ἀλλ' οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
δάκοιμι. τοιόνδ' ἐμπέφυκέ σοι θράσος.
ἔρρ'

ἔρρ' αἰσχροποιὲ, καὶ τέκνων μιαιφόνε.
ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' ἀιάζειν πάρα.
ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
οὐ παῖδας, οὓς ἔφυσα, κἀξεθρεψάμην,
ἔξω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσα.
μή ἦ μάκρ' ἂν ἐξέτεινα τοῖσδ' ἐναντία
λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο
οἷ' ἐξ ἐμοῦ πέπονθας, οἷά τ' εἰργάσω.
σὺ δ' οὐκ ἔμελλες τἄμ' ἀτιμάσας λέχη,
τέρπνὸν διάγειν βίοτον, ἐγγελῶν ἐμοὶ,
οὔθ' ἡ τύραννος, οὔθ' ὁ σοὶ προθεὶς γάμους
Κρέων ἀνατεὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός;
πρὸς ταῦτα, καὶ λέαιναν εἰ βούλει, κάλει,
καὶ σκύλλαν, ἣ τυρσηνὸν ᾤκησεν πέδον.
τὴν σῆς γὰρ ὡς χρὴ καρδίας ἀνθηψάμην.
ἰά κἀυτήγε λυπῇ, καὶ κακῶν κοινωνὸς εἶ.
μή σάφ' ἴσθι. λύει δ' ἄλγος, ἢν σύ μὴ 'γγελᾷς.
ἰά ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.
μή ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.
ἰά οὐ τοίνυν ἦ μὴ δεξιά σφ' ἀπώλεσεν.
μή ἀλλ' ὕβρις, οἵ τε σοὶ νεοδμῆτες γάμοι.
ἰά λέχους σφε κηξίωσας οὕνεκα κτανεῖν;
μή σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;
ἰά ἥτις γε σώφρων. σοὶ δὲ πάντ' ἐστὶν κακά.
μή οἶδ' οὐκ ἔτ' εἰσί. τοῦτο γάρ σε δήξετε.
ἰά οἶδ' εἰσὶν οἴμοι, σῷ κάρᾳ μιάστορες.
μή ἴσασιν ὅστις ἦρξε πημονῆς, θεοί.
ἰά ἴσασι δῆτα σὴν ἀπόπτυστον φρένα.
μή στυγῇ. πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.
ἰά καὶ μὴν ἐγὼ σήν. ῥᾴδιοιγ' ἀπαλλαγαί.

μή πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
ἰά θάψαι νεκρούς μοι τούσδε, καὶ κλαῦσαι πάρες.
μή οὐ δῆτ', ἐπείσφας τῇδ' ἐγὼ θάψω χερί,
φέρουσ' ἐς Ἥρας τέμενος ἀκραίας θεοῦ,
ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ
τύμβους ἀναστῶν.. γῇ δὲ τῇδε Ζισύφου
σεμνὴν ἑορτὴν, καὶ τέλη προσάψομαι
τολοιπὸν, ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
σὺ δ' ὥσπερ εἰκὸς, κατθανῇ κακὸς κακῶς,
Αργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
πικρὰς τελευτὰς τῶν ἐμῶν ἰδὼν γάμων
ἰά ἀλλὰ σ' ἐριννὺς ὀλέσειε τέκνων,
φονία τε δίκη
μή τίς δὲ κλύει σου θεὸς, ἢ δαίμων
τοῦ ψευδόρκου, καὶ ξεινάπατα;
ἰά φεῦ. φεῦ μυσαρὰ, καὶ παιδολέτορ.
μή στεῖχε πρὸς οἴκους, καὶ θάπτ' ἄλοχον,
ἰά στείχω δισσῶν γ' ἄμορος τέκνων.
μή οὔπω θρηνεῖς. μένε καὶ γῆρας.
ἰά ὦ τέκνα φίλτατα.. Μ. μητρίγε. σοὶ δ' οὔ.
ἰά κἄπειτ' ἔκτας; .Μ. πημαίνουσα σέ.
ἰά αἶ. αἶ. φιλίου χρήζω στόματος
παίδων ὁ τάλας προσπτύξασθαι.
μή νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζῃ,
τότ' ἀπωσάμενος. .Ι. δός μοι πρὸς θεῶν
μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.
μή οὐκ ἔστι. μάτην λόγος ἔρριπται.
ἰά Ζεῦ, τάδ' ἀκούεις, ὡς ἀπελαυνόμε

σθ', οἷά τε

σθ', οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
καὶ παιδοφόνου τῆσδε λεαίνης;
ἀλλ' ὁπόσον γοῦν πάρα, καὶ δύναμαι,
τάδε θρήνῳ κἀπὶ θοάζω
μαρτυρόμενος δαίμονας, ὥς μοι
τέκνα κτείνασ', ἀρκωλύεις
ψαῦσαί τε χεροῖν, θάψαι τε νεκρούς,
οὓς μή ποτ' ἐγὼ φύσας ὤφελον,
πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.
χο πολλῶν ταμίας Ζεὺς ἐν ὀλύμπῳ.
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
καὶ τὰ δοκηθέν τ', οὐκ ἐτελέσθη.
τῶν δ' ἀδοκήτων πόρον εὗρεν θεός.
τοιόνδ' ἀπέβη τόγε πρᾶγμα.

ΕΥΡΙΠΙΔΟΝ
ΜΗΔΕΙΑ.

ΥΠΟΘΕΣΙΣ ΙΠΠΟΛΥΤΟΥ.

Θησεὺς υἱὸς μὲν ἦν Αἴθρας καὶ Ποσειδῶνος, Βασιλεὺς δὲ Αθηναίων. γήμας δὲ μίαν τῶν Αμαζόνων Ιππολύτην, Ιππόλυτον ἐγέννησε, κάλλει τε καὶ σωφροσύνη διαφέροντα. ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο κρητικὴν γυναῖκα, τὴν Μίνωος τοῦ Κρητῶν βασιλέως, καὶ Πασιφάης θυγατέρα Φαίδραν. ὁ δὲ Θησεὺς Πάλλαντα ἕνα τῶν συγγενῶν φονεύσας, φεύγει ἐς Τροιζῆνα μετὰ τῆς γυναικός. οὗ συνέβη τὸν Ιππόλυτον παρὰ Πιτθεῖ τρέφεσθαι. θεασαμένη δὲ τὸν νεανίσκον ἡ Φαίδρα, εἰς ἐπιθυμίαν ᾤλισθεν, οὐ ἀκόλαστος οὖσα, πληροῦσα δὲ Αφροδίτης μῆνιν, ἣ τὸν Ιππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίνασα, τῆς Φαίδραν εἰς ἔρωτα παρώρμησε. τέλος δὲ τοῖς προτεθεῖσιν ἐπέθηκε. στέργουσα γὰρ τὴν νόσον ἡ Φαίδρα, χρόνῳ πρὸς τῆς τροφὸν δηλῶσαι ἠναγκάσθη. ἡ δὲ, κατεπηγγείλατο αὐτῇ βοηθήσειν. ἥτις καὶ παρὰ τῆς προαίρεσιν, λόγους προσήνεγκε τῷ νεανίσκῳ. τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα, τῇ μὲν τροφῷ ἐπέπληξεν. ἑαυτὴν δὲ ἀνήρτησε. καθ' ὃν καιρὸν φανεὶς Θησεὺς, καθελεῖν θέλων τῆς ἀπηγχονισμένην, εὗρεν αὐτῇ προσηρτημένην δέλτον, δι' ἧς Ιππολύτου φθορὰν κατηγόρει, καὶ ἐπιβουλήν. πιστεύσας δὲ τοῖς γεγραμμένοις, τὸν μὲν Ιππόλυτον ἐπέταξε φεύγειν. αὐτὸς δὲ τῷ Ποσειδῶνι ἀρὰς ἔθετο. ὧν ἐπακούσας ὁ θεὸς, τὸν Ιππόλυτον διέφθειρεν. Αρτεμις δὲ τῶν γεγενημένων ἕκαστον διασαφήσασα Θησεῖ, τὴν

μὲν

μὲν Φαίδραν οὐκ ἐμέμψατο. τοῦτον δὲ παρεμυθήσατο ἡ τοῦ γυναικὸς στερηθέντα. τοῦ δὲ Ιππολύτου τιμὰς ἔφη ἐπιχωρίους ἐγκαταστήσασθαι. Η σκηνὴ τοῦ δράματος ἐν Θήβαις κεῖτο.

ΤΑ ΤΟΥ ΤΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Αφροδίτη.	Φαίδρα.
Ιππόλυτος	Θησεύς.
Χορὸς ἐκ Τροιζηνίων γυναικῶν.	Η μιχόριον.
	Αγγελος.
Θεράπαινα.	Ετερος Αγγελος
Τροφὸς Φαίδρας.	Αρτεμις.

Προλοδίζει δὲ ἡ Αφροδίτη

ΕΥΡΙΠΙΔΟΥ ΙΠΠΟΛΥΤΟΣ ΣΤΕΦΑΝΗΦΟΡΟΣ.



Πολλὴ μὲν ἐν βροτοῖσι, κοὐκ
ἀνώνυμος
θεὰ κέκλημαι Κύπρις, οὐρα
νοῦ τ' ἔσω,
ὅσοι τε πόντου, τερμόνων τ' ἀτλαντικῶν
ναίουσιν εἴσω, φῶς ὁρῶντες ἡλίου.
τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,
σφάλλω δ' ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.
» Ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε,
» Τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο.
δείξω δὲ μύθων τῶνδ' ἀλήθειαν τάχα.
ὁ γάρ με Θησέως παῖς, ἀμαζόνος τόκος
Ἱππόλυτος, ἁγνοῦ Πιτθέως παιδεύματα,
μόνος Πολιτῶν τῆσδε γῆς Τροιζηνίας,
λέγει κακίστην δαιμόνων πεφυκέναι.
ἀναίνεται δὲ λέκτρα, κοὐ ψάνει γάμων.
Φοίβου δ' ἀδελφὴν Ἄρτεμιν, Διὸς κόρην
τιμᾷ, μεγίστην δαιμόνων ἡγούμενος.
χλωρὰν δ' ὕλην παρθένῳ ξυνὼν ἀεὶ,
κυσὶν ταχείαις, θῆρας ἐξαίρει χθονὸς,
μείζω βροτείας προσπεσὼν ὁμιλίας.
τούτοισι μέν γ' οὖν οὐ φθονῶ. τί γάρ με δεῖ;
ἃ δ' εἰς ἔμ' ἡμάρτηκε, τιμωρήσομαι
Ἱππόλυτον ἐν τῇδ' ἡμέρᾳ. τὰ πολλὰ δὲ
πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ.
ἐλθόντα γάρ νιν Πιτθέως πότ' ἐκ δόμων
σεμνῶν ἐς ὄψιν καὶ τέλη μυστηρίων

Γανδίονος

Γανδίονος γῆν, πατρὸς εὐγενὴς δάμαρ
ἰδοῦσα φαίδρα, καρδίαν κατέσχετο
ἔρωτι δεινῷ, τοῖς ἐμοῖς βουλεύμασι.
καὶ πρὶν μὲν ἐλθεῖν τήνδε γῆν Τροιζηνίαν,
πέτραν παρ' αὐτὴν Παλλάδος κατόψιον,
γῆς τῆσδε ναὸν Κύπριδος ἐγκαθίσατο,
ἐρῶσ' ἔρωτ' ἔκδημον. Ἱππολύτῳ δ' ἔπι
τολοιπὸν ὠνόμαζεν ἱδρύσθαι θεάν.
ἐπεὶ δὲ Θησεὺς Κεκροπίαν λίπε χθόνα,
μίασμα φεύγων αἵματος Παλλαντιδῶν,
καὶ τήνδε σὺν δάμαρτι ναυστολεῖ χθόνα,
ἐνιαυσίαν ἔκδημον αἰνέσας φυγὴν,
ἐνταῦθα δὴ στένουσα, κἀκπεπληγμένη
κέντροις ἔρωτος ἡ τάλαιν' ἀπόλλυτο
σιγῇ. ξύνοιδε δ' οὔτις οἰκετῶν νόσον.
ἀλλ' οὔτι ταύτῃ τόνδ' ἔρωτα χρὴ πεσεῖν.
δείξω δὲ Θησεῖ πρᾶγμα, κἀκφανήσετο.
καὶ τὸν μὲν ἡμῖν πολέμιον πεφυκότα.
κτενεῖ πατὴρ ἀραῖσιν, ἃς ὁ πόντιος
ἄναξ Ποσειδῶν ὤπασεν Θησεῖ γέρας
μηδὲν μάταιον ἐς τρὶς εὔξασθαι θεῷ.
ἥδ' εὐκλεὴς μὲν, ἀλλ' ὅμως ἀπόλλυτο
φαίδρα. τὸ γὰρ τῆσδ' οὐ προτιμήσω κακόν,
τοῦ μὴ οὐ πρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ
δίκην τοσαύτην ὥστε μοι καλῶς ἔχειν.
ἀλλ' εἰσορῶ γὰρ τόνδε παῖδα Θησέως
στείχοντα, θήρας μόχθον ἐκλελοιπότα
Ἱππόλυτον, ἔξω τῶνδε βήσομαι δόμων.
